37 8. Postremo — nam de Polluc. V, 38 et Etym. Magn. 395, 44, ut qui item huc referendi sint, nemo facile Volkmanno p. 38 seq. assentiatur — vix alibi quam in Ophiacis locum habuerint quae *schol. Theriac.* 781 tradit: *τὸ ἐννέα ἐπὶ πλήθους τέτακται* (cf. Lobeck. Elem. Pathol. p. 212), *ὡς ἄλλοθι ὁ Νίκανδρος μέμνηται τοῦ δύο κέντρα ἔχοντος (σκορπίου) ἐννεάκεντρον εἰπών. εἰσὶ γὰρ ἔνιοι δύο κέντρα ἔχοντες.*

III.

Progredimur ad (XII) *Ἑτεροιουμένων* heroico metro scriptorum libros quinque. tot enim fuisse libros, quibus in nova Nicander mutatas dicere formas corpora instituit, Suidae dicenti merito fidem adiungimus, licet apud reliquos scriptores quinti libri nullum extet vestigium. In ea autem tractanda materia Nicandrum longo post se intervallo reliquit is qui vere auguratus est per omnia saecula fama se victurum esse, Ovidius. Nam quae apud hunc conspicua est artificiosa metamorphoseon dispositio singularumque fabularum artissima inter se connexio, ea apud Nicandrum nulla fuit, ut hanc quoque ob causam vere dixisse videatur Valckenaer. in Callimach. eleg. fragm. p. 235 ad Ovidii illud opus Nicandri nullo modo posse aequiparari. Sed ut via et ratione nostra haec procedat disputatio, ante omnia monendum in Antonini Liberalis narrationibus viginti duobus[1])

1) nam fab. XIV contra codicis Palatini (de quo post alios monuit Hercher. in Schneidew. Philol. VII, p. 452) et editionis principis fidem dicitur ex Nicandri *ἕτεροι*. libro secundo excerpta esse.

eis, quas e Nicandri Heteroeumenis excerpsit, nihil esse quod ab ipso additum Antonino, non e Nicandro petitum putari oporteat. leguntur enim in his e Nicandro ductis fabulis quae, quum ipsam metamorphosin non attingant, nemo desideraverit. nam primum videmus de cultu deorum heroumque et festis diebus quaedam narrari cum transformationibus coniuncta in fabb. I, IV, XIII, XVII, XXIV, XXV, XXVI, XXIX, XXXII, qualia quum in reliquis apud Antoninum fabulis non legantur, iure affirmare nobis videmur hoc non minus proprium Nicandri fabulis fuisse quam Boei fabulis ornithogonicis, quas et ipsas Antoninus excerpsit, proprium hoc fuit monere, ex hominibus conversae aves quae *αἴσιαι* fuerint, quae non fuerint (cf. fabb. XI, XV, XIX, XXI). Unde ut Boeo vindicamus fab. VI, quam non dicit Antoninus ex quo petierit, ita Nicandro confidenter ascribimus fabul. XL, cuius item auctorem Antoninus celat, praesertim quum illa fabula non tam *μεταμόρφωσιν* quam *ἀφανισμὸν* aliquem (cf. Preller. Demet. et Perseph. p. 260 n. 45) contineat, qualis in Nicandri *ἑτεροιουμένοις* ab Antonino servatis saepius quam in reliquorum auctorum videmus mentionem factam sive per se positi (cf. fab. XXVIII) sive cum metamorphosi quadam vel cum aliquo alio artificio coniuncti (cf. fabb. I, VIII, XII, XIII, XXV, XXVII, XXX, XXXII. sed cf. etiam fabb. III, V, XXII, XXXVII). Hoc igitur tenebimus, in eligendis huius libri fabulis Nicandrum eas cumprimis metamorphoses spectasse, quibus cur quid moris esset in deorum vel heroum cultu explicari posset. ac constat in eiusmodi tractandis argumentis aetiologicis quantopere sibi veteres placuerint (cf. Lobeck. Aglaoph. p. 676 seqq. et p. 1095 seq.), praesertim postquam in quarto *Αἰτίων* libro eiusdem generis argumenta aetiologica magna cum laude tractavit Callimachus, cuius exemplo incitatum fuisse Nicandrum si dixero, nihil affirmasse videbor quod non sit verisimillimum. Ex eiusdem autem magni exemplaris imitatione etiam alterum explicaverim quod identidem legimus Nicandri metamorphoseon fabulis praeter rem immixtum. nam tametsi etiam in paucis quibusdam aliorum fabulis ab Antonino enarratis rem videmus paulo altius repeti, Nicandreis tamen fabulis negari nequit imprimis proprias esse vel praepositas metamorphosi vel post enarratam metamorphosin additas narrationes satis nonnumquam longas quae ad earum urbium

terrarumve *κτίσεις* vel *ὀνομασίαν* et *μετονομασίαν* (cf. fab. XXXV) pertinent, in quibus aliqua facta est transformatio. cf. fab. VIII extr., XIII, XXIII, XXX, XXXI, XXXVIII. quod *αἰτίων* genus idem ille Callimachus celebravit *Αἰτίων* libro secundo, quo magis etiam apparet nullam causam esse cur haec ab Antonino addita, non ab ipso Nicandro narrata putemus.

Quae hucusque disputavimus tum Nicandri Heteroeumenon naturam, quatenus in tantis tenebris licuit, declarant, tum viam nobis ad eam munierunt quaestionem, num quo artificioso vinculo singulas transformationes poeta ad unius et individui corporis speciem redegerit. Hoc neganus ac pernegamus factum fuisse, ut pridem suis ductus argumentis negavit Mellmannus „de caus. et auct. narrationum de mutatis formis“ p. 93. neque enim futurum fuisse videtur ut tam longe Nicander repeteret narrationes, si singulas fabulas arcte inter se coniunctas esse voluisset. immo quod aliud simul praeter enarrandarum metamorphosium secutus consilium ad transformationes non accedit nisi per ambages, documento est transformationes singulas singulis fuisse carminibus expositas, eisque neque cum priore neque cum posteriore cuiusvis libri parte cohaerentibus. Cui quidem iudicio non repugnat quod interdum plures transformationes uno complexus est carmine, unius cuiusdam fabulae, quae primarium carminis argumentum esset, narrationi alias inserens tamquam emblemata, quod factum esse docent Antonini fabb. XVII, XXII, XXXII. Nec sufficit ad contrarium nostro iudicium comprobandum quod Ovidius transformationum quasdam fabulas arcte coniunxit quas Nicander in *eodem Ἑτεροιουμένων* libro narraverat· nam vide Ovidii Metam. V, 302 seq., 325—331, 444—461 coll. Antonin. fabb. IX, VII, IV. Ovid. Metam. VII, 368—370 et 371—379 coll. Anton. fab. I et XII. Ovid. Metam. IX, 454—665 et 666 seqq. coll. Antonin. fab. XXX et XVII. unde cur tandem colligendum sit potius coniunxisse Ovidium quae a Nicandro coniuncta invenerit, quam primum artificiose Ovidium nexuisse quae viderit apte iungi posse etsi seorsum enarrata a Nicandro, quem artificiosum rerum tractandarum ordinem parum curasse abunde docent Theriaca et Alexipharmaca? Itaque obtinebimus, singulas fabulas singulis plerumque carminibus, quae sine ullo artificioso inter se vinculo Nicander composuerat, tractatas fuisse,

ut mirandum non sit, si quae fabulae proprio aliquo citentur nomine iuxta ac si peculiari et ad Heteroeumena non pertinente carmine expositae fuerint. quod propter Ὑάκινθον moneo, cuius libri unus meminit scholiasta ad Theriac. 585 (*Νίκανδρος ἐν τῷ ἐπιγραφομένῳ Ὑακίνθῳ*). nam etsi ipsum quidem argumentum non enarravit, quis tamen dubitet quin poeta hoc carmine idem celebraverit quod in Theriac. 902 seqq. attigit breviter, Hyacinthi infelicem casum eiusque in hyacinthum florem conversum cruorem. quod unice aptum Heteroeumenis argumentum et ab Ovidio quoque inter Metamorphoses receptum, Nicandro autem eo magis exoptatum quod ex genere aetiologico fuit. propter Hyacinthum enim interfectum scimus et Hyacinthiorum festum institutum et Hyacinthio mensi (cf. Simmias ap. Stephan. Byz. p. 87, 18 coll. Meinek. delect. poetar. Anthol. graec. p. 100) nomen inditum fuisse. — Quid quod ne singula quidem quae in *uno* Heteroeumenon libro erant carmina propter argumenti aliquam similitudinem in eo libro composita fuisse videntur. nam qui vel ex primo vel ex secundo vel ex tertio vel ex quarto libro ab Antonino petitas fabulas inter se comparaverit, nullam inveniet inter eiusdem libri fabulas cognationem neque in transformationis causis, neque in ratione transformandi novisque formis, neque in hominum transformatorum sceleribus, neque in deorum transformantium personis neque in ritibus institutisque si qua e transformatione aliqua in hominum vitam manarunt. haec enim omnia in singulis libris leguntur eadem neque ullus est qui habeat aliquid sibi proprii. Ac ne hoc quidem concedi potest, quod nuper Volkmannus commendavit p. 30 seq., Nicandrum tamquam in itinerario vel *περιηγήσει* quadam ab Acarnania incipientem reconditiores Thessaliae, Phocidis, Aetoliae, Boeotiae fabulas exposuisse, geographicum vero filum episodiis distinxisse. nequaquam enim quae eiusdem sunt regionis fabulas eodem libro tractavit. Velut Thessalicas [1]) fabulas et primo libro habemus et vero etiam secundo: cf. Antonin.

1) Ad Thessaliam pertinet etiam Antonin. fab. XXII, ubi *γῆν τὴν Μηλιέων παρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος* perperam Volkm. interpretatur de Melo Acarnaniae pago suae ipse interpretationi nocens allato Stephan. Byz. loco p. 450, 13, quem obiter inspexit.

XIII, quam fabulam quominus putemus episodium aliquod fuisse prohibet magnus eius ambitus et a remotissimis rebus repetitio. neque per se credibile est Antoninum proprium assignasse locum fabulae cuidam quam obiter et in transcursu Nicander dederat. certe in hac quoque re Nicandrum presse sequutus est, quas a poeta interpositas aliis invenerat fabulas et ipse interponens XVII, XXII, XXXII. Praeterea Volkmannus si de Cragalo fabulam (Antonin. IV) ad Ambraciam rettulit, quoniam ibi in saxum conversum Cragalum conspici dicit Ovidius, Metam. XIII, 713 seq. [1]), etsi prope Thermopylas (*παρὰ τὰ λουτρὰ Ἡρακλέους*, vid. Mülleri Dor. I p. 427) et greges pascere solebat et inter Apollinem Dianamque et Herculem iudex sedebat et convertebatur *ἵναπερ εἰστήκει* (cf. Anton.), — eodem iure etiam de Batto fabulam (Antonin. XXIII) non ad Thessaliam, sed ad Peloponnesum referre debebat, quo interruptum sane erit filum istud geographicum a Volkmanno excogitatum. Neque eiusdem regionis fabulae sunt quas e secundo libro Antoninus excerpsit, in quo praeter Thessalorum etiam Cretensium, Asianorum, Messapiorum habemus narrationes. Tum ex tertio libro servatarum trium fabularum duae ad Aetoliam pertinent, tertia vel ad Athenas vel ad Ceo insulam, certe non ad Phocidem, quo Volkmannus miro usus argumento rettulit, scilicet ut contiguae essent regiones quarum in tertio libro narratae fabulae sunt. Et Phocensium tamen aliquam fabulam Nicander narraverat etiam libro quarto (Antonin. VIII), cuius reliquae fabulae ab Antonino servatae Atticam et Boeotiam sibi vindicant originem, velut de Iphigenia fabula, unde ad fabulas de bello Troiano quae quidem cum transformationibus essent coniunctae exspatiatum Nicandrum fuisse Volkmannus putat, quod nec probari argumentis nec refelli potest. In universum autem iam patere arbitror, si tamquam in itinere versantem Nicandrum Graecorum fabulas enarrasse credendum nobis sit, vere dici posse poetam *πολλὰ ἄνακτα, κάταντα πάραντά τε δόχμιά τ' ἐλθεῖν*. Sed iam tempus est ipsa *Ἑτεροιουμένων* fragmenta apponere.

---

1) Ubi iterum Cerambi meminit Ovidius, Metam. VII, 353, regionem habemus circa Othryn sitam, sed aliam fabulam.

Et e *primo* quidem libro servata haec sunt:

1. *Antonin. Liberal.* IV.[1]) (*Κραγαλεύς. ἱστορεῖ Νίκανδρος Ἑτεροιουμένων α΄ καὶ Ἀθανάδας Ἀμβρακικοῖς.*) 38

Κραγαλεὺς ὁ Δρύοπος ᾤκει γῆς τῆς Δρυοπίδος παρὰ τὰ λουτρὰ τὰ Ἡρακλέους, ἃ μυθολογοῦσιν Ἡρακλέα πλήξαντα τῇ κορύνῃ τὰς πλάκας τοῦ ὄρους ἀναβαλεῖν. ὁ δὲ Κραγαλεὺς οὗτος ἐγεγόνει γηραιὸς ἤδη καὶ τοῖς ἐγχωρίοις ἐνομίζετο δίκαιος εἶναι καὶ φρόνιμος. καὶ αὐτῷ νέμοντι βοῦς προσάγουσιν Ἀπόλλων καὶ Ἄρτεμις καὶ Ἡρακλῆς κριθησόμενοι περὶ Ἀμβρακίας τῆς ἐν Ἠπείρῳ. καὶ ὁ μὲν Ἀπόλλων ἑαυτῷ προσήκειν ἔλεγε τὴν πόλιν, ὅτι Μελανεὺς υἱὸς ἦν αὐτοῦ, βασιλεύσας μὲν Δρυόπων καὶ πολέμῳ λαβὼν τὴν πᾶσαν Ἤπειρον, γεννήσας δὲ παῖδας Εὔρυτον καὶ Ἀμβρακίαν, ἀφ' ἧς ἡ πόλις Ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα χαρίσασθαι τοῦτο τῇ πόλει· Σισυφίδας[2]) *μὲν γὰρ αὐτοῦ προστάξαντος ἀφικομένους κατορθῶσαι τὸν πόλεμον Ἀμβρακιώταις τὸν γενόμενον αὐτοῖς πρὸς Ἠπειρώτας. Γόργον δὲ τὸν ἀδελφὸν Κυψέλου κατὰ τοὺς αὐτοῦ*

---

1) In afferendis Antonini verbis sequimur Westermanni recensionem, a qua sicubi discedendum nobis videbitur, indicabimus sedulo.

2) *Σισυφίδας* i. e. Corinthios. illud suscepisse Antoninum patet ex ipso Nicandro qui eodem usus est vocabulo Alexiph. 619 reliquorum poetarum usum secutus. nam incolae saepe *ἐλέγοντο ἀπὸ τῶν διασημοτάτων παρ' αὐτοῖς, Ἀθηναῖοι Κοδρίδαι καὶ Κεκροπίδαι, Θησεῖδαι, Ἐρεχθεῖδαι*, quae Stephan. Byz. verba sunt p. 34, 14. ab hoc citatis adde *Κραναΐδαι* ap. Eurip. Suppl. 715 (coll. *παῖδες Κραναοῦ* ap. Aeschyl. Eumen. 993 Herm.) et paulo aliter formata, sed idem illud significantia nomina *Κέκροπες, Φορωνῆες, Μέροπες, Κόδροι*, de quibus videndi Lobeck. Paralip. p. 303 et Unger. de Valg. Ruf. p. 101. Ceterum ut hic Nicandreum *Σισυφίδας* Antoninus in usum suum convertit, ita fab. XXV e Nicandri narratione retinuit *Ἀονίαν*. ac similiter Parthenius nec narrat. XV videtur *Ἠλιδίαν* scripturus fuisse nisi in Diodori vel potius Duridis (cf. Hecker. in Schneidew. Philol. V p. 416) elegia *Ἠλιδίην* scriptum invenisset, nec narrat. II Liparam insulam dixisset *Μελιγουνίδα* (ut Callim. in Artem. 47. cf. Plin. nat. hist. 3, 93 cum not. Sillig.), nisi apud Philetam quem ibi sequitur legisset *ἐς Μελιγουνίδα νῆσον*, ut hoc frustulum Philetae fragmentis a Nicol. Bach. collectis addendum sit (aeque ac verba a Choerobosc. in Theodos. canon. p. 360 coll. Gaisford. praef. ad Etym. Mag. p. VII servata: *ἀγαθὴ δ' ἐπὶ ἤθεσιν αἰδώ*). Iterum Antoninus fab. XIV scribens *ὤκουν Κῶν τὴν Μεροπίδα νῆσον* apud Boeum poetam invenerat *Κόων Μεροπηΐδα νῆσον*, ut scripsit etiam Callimach. in Del. 160 coll. Eustath. ad Il. p. 97, 30.

χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν ἐκ Κορίνθου, Φαλαίκῳ δὲ τυραννοῦντι τῆς πόλεως αὐτοῦ κατὰ μαντείαν Ἀμβρακιώτας ἐπαναστῆσαι· καὶ παρὰ τοῦτο πολλοῦ ἀπολιπέσθαι[1]) *τὸν Φάλαικον· τὸ δὲ ὅλον αὐτὸς ἐν τῇ πόλει παῦσαι πλειστάκις ἐμφύλιον πόλεμον καὶ ἔριδας καὶ στάσιν, ἐμποιῆσαι ἀντὶ τούτων δ' εὐνομίαν καὶ θέμιν καὶ δίκην, ὅθεν αὐτὸν ἔτι νῦν παρὰ τοῖς Ἀμβρακιώταις σωτῆρα Πύθιον ἐν ἑορταῖς καὶ εἰλαπίναις ᾄδεσθαι. Ἄρτεμις δὲ τὸ μὲν νεῖκος κατέπαυε τὸ πρὸς τὸν Ἀπόλλωνα, παρ' ἑκόντος δ' ἠξίου τὴν Ἀμβρακίαν ἔχειν· ἐφίεσθαι γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην. ὅτε Φάλαικος ἐτυράννευε τῆς πόλεως, οὐδενὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν αὐτὴ κυνηγετοῦντι τῷ Φαλαίκῳ προφῆναι σκύμνον λέοντος, ἀναλαβόντος δὲ εἰς τὰς χεῖρας ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν μητέρα καὶ προσπεσοῦσαν ἀναρρῆξαι τὰ στέρνα τοῦ Φαλαίκου, τοὺς δ' Ἀμβρακιώτας ἐκφυγόντας τὴν δουλείαν Ἄρτεμιν ἡγεμόνην ἱλάσασθαι, καὶ ποιησαμένους ἀγροτέρης εἴκασμα παραστήσασθαι χάλκεον αὐτῷ θῆρα. Ὁ δὲ Ἡρακλῆς ἀπεδείκνυεν Ἀμβρακίαν τε καὶ τὴν σύμπασαν Ἤπειρον οὖσαν ἑαυτοῦ· πολεμήσαντος γὰρ αὐτοῦ Κελτοῖς*[2]), *καὶ Χάονας καὶ Θεσπρώτους καὶ σύμπαντας Ἠπειρώτας ὑπ' αὐτοῦ κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συνελθόντες ἀφελέσθαι. χρόνῳ δ' ὕστερον λαὸν ἔποικον ἐλθεῖν ἐκ Κορίνθου καὶ*

---

1) In codice est *πολλοὺς ἀπολέσθαι*, quod qui ita in ordinem cogi posse putarunt, ut *πολλοὺς* inducerent, debebant certe in sequentibus, ubi Diana sua opera gloriatur Phalaecum a leone interfectum esse, Phalaeco substituere *Phayllum* coll. Aelian. de nat. animal. XII, 40 (nam in Ovid. Ib. 500 ob codicum dissensum nihil est praesidii). Mihi autem multo videtur verisimilius Aelianum potius quam cum Nicandro et Athanada Antoninum in viri nomine errasse. iam quum Phalaecus non potuerit bis mori, et Apollinis et Dianae opera, Apollinem quidem nihil egisse putamus nisi ut seditione exorta Phalaecus *multo inferior evaserit.* in hunc igitur sensum vulgatam lectionem correximus.

2) Vulgo: *πολεμήσαντας γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας κ. τ. λ.* Sed Celtorum cum Chaonibus et Thesprotiis inita ad debellandum Herculem societate merito offensi sunt interpretes, quorum *Κελαίθους* e Stephan. Byz. Berkelius correxit pro *Κελτούς*. Sed quum codex habeat *αὐτο*, non *αὐτῷ*, scripsi quod supra vides. Hoc dicit Hercules, post debellatos Celtos (quorum terram peragrasse Herculem Geryonis abigentem boves constat vel e Parthenii narrat. XXX) etiam Epirotas se perdomuisse. Ceterum *πολεμεῖν τινα* ab huius aetatis scriptoribus minime abhorret. cf. Dindorf. in Thesaur. Paris. VI p. 1333 et Bast. op. crit. p 112 seq. ed. Wiedeb.

τοὺς πρόσθεν ἀναστήσαντας Ἀμβρακίαν συνοικίσαι· Κορίνθιοι δὲ πάντες εἰσὶν ἀφ' Ἡρακλέους. Ἃ διακούσας ὁ Κραγαλεὺς ἔγνω τὴν πόλιν Ἡρακλέους εἶναι. Ἀπόλλων δὲ κατ' ὀργὴν ἁψάμενος αὐτοῦ τῇ χειρὶ πέτρον ἐποίησεν ἴναπερ εἱστήκει. Ἀμβρακιῶται δὲ Ἀπόλλωνι μὲν σωτῆρι θύουσι, τὴν δὲ πόλιν Ἡρακλέους καὶ τῶν ἐκείνου παίδων νενομίκασι, Κραγαλεῖ δὲ μετὰ τὴν ἑορτὴν τὴν Ἡρακλέους ἔντομα θύουσιν ἄχρι νῦν. —

2. *Antonin. Liberal.* XXII (*Κέραμβος.* [1]) Ἱστορεῖ Νίκανδρος ἐν 39
α' ἑτεροιουμένων.)

Κέραμβος Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης Ὀθρηλίδος ᾤκει ἐν τῇ γῇ τῇ Μηλιέων παρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος. ἐγένετο δὲ αὐτῷ θρέμματα πλεῖστα καὶ αὐτὰ ἐποίμαινεν αὐτός. νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς ἐν τοῖς ὄρεσιν ᾄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι καὶ ἐπὶ βουκολικοῖς ᾄσμασι διαβοηθῆναι καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι συνθεῖναι καὶ λύρᾳ πρῶτος ἀνθρώπων κεχρῆσθαι, πλεῖστά τε καὶ κάλλιστα μέλη ποιῆσαι. τούτων οὖν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας καὶ χορεῦσαι πρὸς τὰ κρούματα τοῦ Κεράμβου, Πᾶνα δὲ τοῦτο κατ' εὐμένειαν αὐτῷ παραγγεῖλαι καταλιπόντι τὴν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν. ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐπεῖναι μέλλειν· ὁ δὲ Κέραμβος ὑπὸ μεγαλαυχίας ἐκ νεότητος οἷα θεοβλαβὴς ἀπελαύνειν μὲν ἐκ τῆς Ὄθρυος εἰς τὸ πεδίον οὐκ ἐγίγνωσκεν, ἀπέῤῥιψε δὲ λόγον ἄχαριν τε καὶ ἀνόητον εἰς τὰς νύμφας, ὅτι γένος μέν εἰσιν οὐκ ἀπὸ Διός, ἀλλ' ἔτεκεν αὐτὰς ἡ δεῖνα τοῦ Σπερχειοῦ, Ποσειδῶν δὲ πόθῳ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐῤῥίζωσε καὶ ἐποίησεν αἰγείρους, ἄχρι αὐτὸς κορεσθεὶς τῆς εὐνῆς ἀνέλυσε καὶ πάλιν αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν. τοιαῦτα μὲν ὁ Κέραμβος ἐκερτόμησεν εἰς τὰς νύμφας. Μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυμὸς καὶ ἐπάγησαν αἱ χαράδραι καὶ πολλὴ κατέπεσε χιὼν καὶ τὰ ποίμνια τοῦ Κεράμβου σὺν αὐταῖς ἀτραποῖς καὶ δένδρεσιν ἠφανίσθη. νύμφαι δὲ μετέβαλον κατ' ὀργὴν τὸν Κέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο ὑλοφάγος κεράμβυξ. Φαίνεται δὲ ἐπὶ τῶν ξύλων καὶ ἐστιν ἀγκύλος ἐκ τῶν ὀδόντων καὶ συνεχῶς τὰ γένεια κινεῖ, μέλας, παραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὼς τοῖς μεγά-

1) Vulgatum *Τέραμβος* hic et ubicunque infra recurrit Berkelius propter nomen κεράμβυξ in fine narrationis positum, Munkerus propter Ovid. Metam. VII, 354 correxerunt. *Κέραμπος* et κεράμπυξ M. Haupt. ad Ovid. Metam. VII, 353.

λοις κανθάροις. οὗτος ξυλοφάγος βοῦς καλεῖται, παρὰ δὲ Θετταλοῖς κεράμβυξ. τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι, καὶ τὴν κεφαλὴν ἀποτέμνοντες φέρουσιν, ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης. —

40 3. *Antonin. Liberal.* XXIII. (*Βάττος ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α' καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις καὶ Διδύμαρχος*[1]) *μεταμορφώσεων γ' καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν ἐπιγράμμασιν, ὡς φησι Πάμφιλος ἐν α'.*)

Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης. οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας καὶ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι. ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος. ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο ἵναπερ ἦσαν αἱ Ἀδμήτου βόες. καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσὶν, αἳ ἐφύλαττον αὐτὰς, λήθαργον καὶ κυνάγχην, αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν ὑλακὴν ἀπώλεσαν. εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα καὶ ἑκατὸν βοῦς ἄζυγας καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν. ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ, καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος, καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας, καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαινάλιον καὶ τὰς λεγομένας Βάττου σκοπιάς. ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῳ[2]) *σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει, καὶ μισθὸν ἤτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο, καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. Ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον, εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σι-*

---

1) Schmidt. de Didym. p. 364 iecit potius quam coniecit *Δίδυμος Ἀριστάρχειος* scribendum esse. quo minus etiam probo quod Heckerns Com. crit. de Anthol. graec. I p. 19 not. suasit mox legendum esse *Παμφίλη ἐν α'*. nam Pamphilum praeter lexicon *περὶ γλωσσῶν καὶ ὀνομάτων* scripsisse, in quibus fabulas multas proposuerit, patet ex Galen. T. XI p. 792 et 797.

2) Legebatur *ἐπ' ἄκρῳ τῷ σκοπέλῳ*.

κελίας, αὖτις [1]) ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει, διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα. λέγεται δὲ καὶ ὁ τόπος παρ' ὀδευόντων ἄχρι νῦν σκοπιαὶ [2]) Βάττου.

4. *Antonin. Liberal.* XXXII. (*Δρυόπη. ἱστορεῖ Νίκανδρος ἑτε-* 41
ροιουμένων α'.) Δρύοπι ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος ἐβασίλευσεν ἐν τῇ Οἴτῃ καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη, καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός. ἐπεὶ δὲ αὐτὴν ἠγάπησαν ὑπερφυῶς Ἁμαδρυάδες νύμφαι καὶ ἐποιήσαντο συμπαίκτριαν ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεοὺς καὶ χορεύειν. ταύτην ἰδὼν Ἀπόλλων χορεύουσαν ἐπεθύμησε μιχθῆναι. καὶ ἐγένετο πρῶτα μὲν κλεμμύς, ἐπεὶ δ' ἡ Δρυόπη γέλωτα μετὰ τῶν νυμφῶν καὶ παίγνιον ἐποιήσατο τὴν κλεμμὺν καὶ αὐτὴν ἐνέθετο εἰς τοὺς κόλπους, μεταβαλὼν ἀντὶ τῆς κλεμμύος ἐγένετο δράκων. καὶ αὐτὴν κατέλειπον αἱ νύμφαι πτοηθεῖσαι· Ἀπόλλων δὲ Δρυόπῃ μίγνυται, ἡ δὲ ᾤχετο φεύγουσα περίφοβος εἰς τὰ οἰκία τοῦ πατρὸς καὶ οὐδὲν ἔφρασε πρὸς τοὺς γονεῖς· ἐπεὶ δ' ἔγημεν αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύλου, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον. Οὗτος ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο πάντων κρατῶν· καὶ ἔκτισε παρὰ τὴν Οἴτην πόλιν ὁμώνυμον τῷ ὄρει καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευεν. ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν ἐν τῇ Δρυοπίδι. καὶ εἰς τοῦτο παροῦσαν τὸ ἱερὸν Δρυόπην ἥρπασαν Ἁμαδρυάδες νύμφαι κατ' εὐμένειαν, καὶ αὐτὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην, ἀντὶ δ' ἐκείνης αἴγειρον ἀνέφηναν ἐκ τῆς γῆς καὶ παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέρρηξαν. Δρυόπῃ δὲ μετέβαλε καὶ ἀντὶ θνητῆς ἐγένετο νύμφη. Ἄμφισσος δὲ ἀντὶ τῆς πρὸς τὴν μητέρα χάριτος ἱερὸν ἱδρύσατο νυμφῶν καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρόμου, καὶ ἔτι νῦν οἱ ἐπιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον παρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν δύο παρθένοι τοῖς ἐπιχωρίοις ἐδήλωσαν, πρὸς ὃς ἐχαλέπηναν αἱ νύμφαι καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν. —

5. *Antonin. Liberal.* XXXVIII. (*Λύκος. ἱστορεῖ Νίκανδρος ἑτε-* 42
ροιουμένων α'.) Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ παῖδες ἐγέ-

1) Correxi αὖτις pro αὖθις ob constantem Antonini usum.

2) Vulgo σκοπιά, quod correxi propter v. 16: τὰς λεγομένας Βάττου σκοπιάς.

νοντο Τελαμὼν καὶ Πηλεὺς καὶ τρίτος Φῶκος ἐκ Ψαμάθης τῆς Νηρέως. τοῦτον ἐφίλησε περισσῶς Αἰακός, ὅτι καλὸς κἀγαθὸς ἦν ἀνήρ. Πηλεὺς δὲ καὶ Τελαμὼν φθονήσαντες αὐτῷ κτείνουσι θανάτῳ κρυφαίῳ, καὶ διὰ τοῦτ' ἐξελαθέντες ὑπ' Αἰακοῦ τὴν Αἴγιναν ἐξέλειπον. ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον, Πηλεὺς δ' ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἴρου καὶ ἱκετεύσας καθαίρεται παρ' αὐτῷ τὸν φόνον. καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ἐπὶ συὸς βολῇ κτείνει, καὶ φυγὼν ἔρχεται παρὰ Ἄκαστον, οὗ ὑπὸ τῆς γυναικὸς πρὸς ἀφροδίσιον ἔργον διαβληθεὶς[1] *καταλείπεται μόνος ἐν τῷ Πηλίῳ. καὶ πλαζόμενος ἐντυγχάνει Χείρωνι τῷ Κενταύρῳ, ἱκετεύοντα δὲ αὐτὸν ὑποδέχεται ἐκεῖνος εἰς τὸ ἄντρον. καὶ Πηλεὺς ἀγείρας πολλὰ πρόβατα καὶ βοῦς ἄγει πρὸς τὸν Ἶρον κατὰ ποινὴν τοῦ φόνου. ταύτην οὐχ ὑποδέχεται τὴν ποινὴν ὁ Ἶρος, ἀλλὰ Πηλεὺς ἀπαγαγὼν ἀφίησι κατὰ χρησμὸν θεοῦ. καὶ τὰ πρόβατα νομέων ἔρημα λύκος ἐπελθὼν κατέδει, καὶ ὁ λύκος οὗτος κατὰ δαίμονα μεταβαλὼν ἐγένετο πέτρος, καὶ ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδος καὶ τῆς Φωκέων γῆς.*

43 6. *Stephan. Byz.* p. 134, 5: *Ἀσπαλάθεια, πόλις Ταφίων. Νίκανδρος ἑτεροιουμένων πρώτῃ „Ἀσπαλάθεια βοήροτος“.* — Eiusdem fragmenti suspicetur aliquis olim mentionem factam fuisse in his Etym. Magn. p. 156, 30 (add. Zonar. s. v.) verbis: *ἀσπάλαθος, εἶδος ἀκάνθης. Νίκανδρος· „ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομέονται,“* ut Nicandri et Theocriti (nam huius iste versus est. vid. IV, 57) fragmenta male in unum librarii confuderint. Sed si quis Etym. Gudian. p. 84, 25 et Etymol. Angelican. Ritschelii I p. VII, 32 contulerit, eo potius inclinabit, ut Etym. Magni locum ita emendandum censeat: *εἶδος ἀκάνθης. Ἀμάραντος εἰς τὸ (Θεοκρίτου) ἐν γὰρ ὄρει κ. τ. λ.*

E *secundo* libro has Antoninus fabulas excerpsit:

44 1. *Antonin. Liberal.* XIII. (*Ἀσπαλίς. ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.*) *Διὸς καὶ νύμφης Ὀθρηίδος ἐγένετο παῖς Μελιτεύς. τοῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην κατὰ δέος Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη. ὁ δὲ παῖς Διὸς βουλῇ οὐκ ἠφανίσθη, ἀλλ' ηὔξετο τρεφόμενος ὑπὸ μελισσῶν. ἐνέτυχε δὲ αὐτῷ ποιμαίνων πρόβατα Φάγρος ὁ Ἀπόλ-*

1) *διαβληθεὶς* addidi cum Munkero et G. Hermanno. vid. Koch. praef. p. LI, ubi quod dicit unius fere verbi lacunam apparere in codice, nescio unde hoc acceperit. nam in codice hodie fabulam XXXVII extremam, tum fab. XXXVIII totam, postremo fab. XXXIX fere dimidiam non iam comparere ipse dixerat praefat. p. XII.

ἰωνος καὶ Ὀθρηίδος νύμφης, ἥτις ἔτεκε Μελιτέα τὸν ἐν τῇ ὕλῃ παῖδα. θαυμάσας δὲ πρὸς τὸν ὄγκον τοῦ σώματος καὶ ἔτι πλέον πρὸς τὰς μελίσσας ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὰ οἰκία καὶ ἔτρεφεν [1]) πολλῇ σπουδῇ θέμενος αὐτῷ Μελιτέα ὄνομα διότι ὑπὸ μελισσῶν ἐτράφη· ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμός, ἐν ᾧ ποτε θεὸς εἶπε σώζειν ὁμόγνιον ὄντα τὸν ὑπὸ τῶν μελισσῶν τρεφόμενον. Ὁ δὲ παῖς ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος καὶ πλείστων ἦρξε περιοίκων καὶ πόλιν ἔκτισεν ἐν τῇ Φθίᾳ προσαγορεύσας Μελίτην. Ἐν ταύτῃ τῇ Μελίτῃ τύραννος ἐγένετο βίαιος καὶ ὑβριστής, ὃν οἱ μὲν ἐπιχώριοι οὐδ' ὀνομάζουσιν, ὑπὸ δὲ τῶν ξένων Τάρταρος ἐκαλεῖτο. οὗτος εἴ τις διαβοηθείη παρθένος ἐπὶ κάλλει τῶν ἐγχωρίων, ἀπῆγεν αὐτὴν καὶ ἐμίγνυτο πρὸ γάμου κατὰ βίαν. τότε δ' οὖν εἴρητο πρὸς τοὺς θεράπας ἀπάγειν Ἀσπαλίδα τὴν θυγατέρα τὴν Ἀργαίου τῶν οὐκ ἀσήμων· ἡ δὲ παῖς ὡς ἔκπυστος ὁ λόγος ἐγένετο, πρὶν ἀφικέσθαι τοὺς ἀπάξοντας ἀνήρτησεν ἑαυτήν. τῆς δὲ πράξεως οὔπω διαβοηθείσης ἀδελφὸς ὁ τῆς Ἀσπαλίδος Ἀστυγίτης ὤμοσεν, ὅτι πρότερον τίσεται τὸν τύραννον ἢ τὸ σῶμα καθαιρήσει τὸ τῆς ἀδελφῆς. ἐνδὺς δὲ τάχιστα τὴν στολὴν τῆς Ἀσπαλίδος καὶ κρύψας παρὰ τὴν εὐώνυμον πλευρὰν τὸ ξίφος ἦλθε πρὸς τὴν ὄψιν ἀντίπαις ὤν, παρελθὼν δὲ εἰς τὰ οἰκία γυμνὸν ὄντα καὶ ἀφύλακτον τὸν τύραννον κτείνει. οἱ δὲ Μελιτεῖς τὸν μὲν Ἀστυγίτην ἐστεφάνουν καὶ μετὰ παιάνων προέπεμπον, τὸ δὲ σῶμα τοῦ τυράννου κατεπόντωσαν εἰς ποταμὸν ἐμβαλόντες, ὃν ἔτι νῦν ἐξ ἐκείνου τοῦ χρόνου Τάρταρον καλοῦσι, τὸ δὲ σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξερευνῶντες πάντα τρόπον, ὅπως κηδεύσωσιν ἐπισήμως, οὐκ ἠδυνήθησαν εὑρεῖν· ἀλλὰ τοῦτο μὲν ἠφανίσθη κατὰ θεόν, ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον παρὰ τὸ τῆς Ἀρτέμιδος ἑστηκός· ὀνομάζεται δὲ παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον Ἀσπαλὶς Ἀμειλήτη [2]) Ἐκαέργη, ᾧ καθ' ἕκαστον

---

1) Fuit ἔτρεφεν ἐν πολλῇ σπουδῇ, quod iure suspectum Westermanno fuit.

2) Hoc quid sit ego nescio, archaeologi et mythologi nostri non dubito quin facile explicent ab Hesychio memoratum verbum *μειλεῖν* i. e. *ἀρέσκειν*, *μειλίσσειν* producentes, ut *ἀμειλήτη* significet *τὴν οὐκ ἵλεων*, qua in re femininam formam non curabunt magnopere. interim philologi videant sitne *Ἀσπαλὶς ἐν Μελίτῃ Ἐκαέργη* scribendum, quod eo quoque commendari videtur, quod aperta tenet metri vestigia, quae Antonino removere non licuit nisi si ipsum a Nicandro proditum nomen mutare voluit. Praeterea conf. Galen. de comp. medic. sec. loc. IX, Tom. XIII, p. 272 Kühn.: *εἰώθασι πολλοὶ καὶ χωρὶς ποιητικῆς ἐν τῷ βίῳ λέγειν, μὰ τὸν ἐν Περγάμῳ Ἀσκλήπιον, μὰ τὴν ἐν Ἐφέσῳ Ἄρτεμιν, μὰ τὸν ἐν*

ἔτος αἱ παρθένοι χίμαρον ἄθορον ἐκρήμνων, ὅτι καὶ ἡ Ἀσπαλὶς παρθένος οὖσα ἑαυτὴν ἀπηγχόνισεν. —

45 2. *Antonin. Liberal.* XVII (*Λεύκιππος. ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.*) *Γαλάτεια ἡ Εὐρυτίου τοῦ Σπάρτωνος ἐγήματο ἐν Φαίστῳ τῆς Κρήτης Λάμπρῳ τῷ Παυδίονος, ἀνδρὶ τὰ μὲν εἰς γένος εὖ ἔχοντι, βίου δὲ ἐνδεεῖ· οὗτος, ἐπειδὴ ἐγκύμων ἦν ἡ Γαλάτεια, ηὔξατο μὲν ἄῤῥενα γενέσθαι αὐτῷ παῖδα, προηγόρευσε δὲ τῇ γυναικί, ἐὰν γεννήσῃ κόρην, ἀφανίσαι. καὶ οὗτος μὲν ἀπιὼν ἐποίμαινε τὰ πρόβατα, τῇ δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο. καὶ κατοικτείρασα τὸ βρέφος καὶ τὴν ἐρημίαν τοῦ οἴκου λογισαμένη, συλλαμβανόντων δ' ἔτι καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἳ προηγόρευον τὴν κόρην ὡς κόρον ἐκτρέφειν, ἐψεύσατο τὸν Λάμπρον ἄῤῥεν λέγουσα τεκεῖν, καὶ ἐξέτρεφεν ὡς παῖδα κοῦρον, ὀνομάσασα Λεύκιππον. ἐπεὶ δὲ ηὔξετο ἡ κόρη καὶ ἐγένετο ἄφατόν τι κάλλος, δείσασα τὸν Λάμπρον ἡ Γαλάτεια, ὡς οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν εἰς τὸ τῆς Λητοῦς ἱερὸν καὶ πλεῖστα τὴν θεὸν ἱκέτευσεν, εἴ πως αὐτῇ κόρος ἡ παῖς ἀντὶ τῆς θυγατρὸς δύναιτο γενέσθαι, καθάπερ ὅτε Καινὶς μὲν Ἄτρακος οὖσα θυγάτηρ βουλῇ Ποσειδῶνος ἐγένετο Καινεὺς ὁ Λαπίθης, Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρός, ὅτι τοὺς ἐν τῇ τριόδῳ μιγνυμένους ὄφεις ἐντυχὼν ἀπέκτεινεν, ἐκ δὲ γυναικὸς αὖτις ἀνὴρ ἐγένετο διὰ τὸ δράκοντας πολλὰ λακτίσαντα κτανεῖν [1]), καὶ Ὑπερμήστραν πιπρασκομένην ἐπὶ γυναικὶ μὲν αἴρασθαι τῖμον, ἄνδρα δὲ γενομένην Αἴθωνι τροφὴν ἀποφέρειν τῷ πατρί, μεταβαλεῖν δὲ καὶ τὸν Κρῆτα Σιπροίτην, ὅτι κυνηγετῶν λουομένην ἴδε τὴν Ἄρτεμιν. Ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην καὶ ἱκετεύουσαν ᾤκτειρε τὴν Γαλάτειαν καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς εἰς κόρον. ταύτης ἔτι μέμνηνται τῆς μεταβολῆς Φαίστιοι καὶ θύουσι Φυτίῃ [2]) Λητοῖ, ἥ τις ἔφυσε μήδεα τῇ κόρῃ, καὶ

Δέλφοις Ἀπόλλωνα κ. τ. λ. Ceterum *ἀμείλικτος* commendavit Ed. Jacobi lex. myth. p. 148.

1) Corruptam codicis scripturam *διὰ τὸ δράκοντα πολλάκις πάνακτα δὲ* plurimi emendare conati sunt viri docti a Westermanno diligenter enumerati, quorum conamina vereor ut aliis magis placeant quam placent mihi. ipse quod dedi, certe ad codicis scripturam paulo propius accedit. De *λακτίσαντα* cf. Hygin. 75: „postea monitus a sortibus in eodem loco dracontes quum calcasset, redit in pristinam speciem."

2) Pro *Φυτίῃ* a Valckenaerio coniectum Hermannoque (ap. Koch. p. LI) probatum *Φυσιμήδῃ* Nicander certe scribere non potuit quum versui resultet.

τὴν ἑορτὴν Ἐκδύσια καλοῦσιν, ἐπεὶ τὸν πέπλον ἡ παῖς ἐξέδυ· νόμιμον δ' ἐστὶν ἐν τοῖς γάμοις πρότερον παρακλίνασθαι παρὰ τὸ ἄγαλμα τοῦ Λευκίππου. —

3. *Antonin. Liberal.* XXX (*Βυβλίς. ἱστορεῖ Νίκανδρος ἑτεροιου-* 46
μένων β'.) Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος. τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλλεν εἰς τὴν ὕλην, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι βουλῇ Ἀπόλλωνος ἐφύλαττον καὶ ὤρεγον παρὰ μέρος γάλα, ἔπειτα δὲ βουκόλοι περιτυχόντες ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις. ἐπεὶ δὲ ὁ παῖς ηὔξετο καὶ ἐγένετο καλὸς καὶ δραστήριος, καὶ ὁ Μίνως κατὰ πόθον ἐνεχείρει βιάζεσθαι, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον βουλῇ Σαρπηδόνος εἰς Καρίαν ἀποδιδράσκει, καὶ πόλιν ἐνταυθοῖ κτίσας Μίλητον ἔγημεν Εἰδοθέην τὴν Εὐρύτου θυγατέρα τοῦ βασιλέως τῶν Καρῶν. καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ, Καῦνος, ἀφ' οὗ πόλις ἐστὶν ἔτι νῦν ἐν Καρίᾳ Καῦνος, καὶ Βυβλίς· ταύτης ἐγένοντο πλεῖστοι μνηστῆρες ἐπιχώριοι καὶ κατὰ κλέος ἐκ τῶν πέριξ πόλεων. ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο βραχύν, αὐτὴν δὲ ἄφατος ἔρως ἐξέμηνε τοῦ Καύνου. καὶ τὸ πάθος ἄχρι μὲν ἐδύνατο κρύπτειν ἐλελήθει τοὺς γονεῖς, ἐπεὶ δὲ καθ' ἡμέραν εἶχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαλεῖν ἐκ τῆς πέτρας ἑαυτήν. καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος παρελθοῦσα ῥίπτειν ἑαυτὴν ἐπεχείρησε, νύμφαι δὲ κατέσχον οἰκτείρασαι καὶ πολὺν ὕπνον ἐνέβαλον καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπων εἰς δαίμονα καὶ ὠνόμασαν Ἀμαδρυάδα νύμφην Βυβλίδα καὶ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα. καλεῖται δὲ καὶ τὸ ῥέον ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐπιχωρίοις δάκρυον Βυβλίδος. —

4. *Antonin. Liberal.* XXXI (*Μεσσάπιοι. ἱστορεῖ Νίκανδρος ἑτε-* 47
ροιουμένων β'.) Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος καὶ Πευκέτιος. οὗτοι λαὸν ἀθροίσαντες ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὸν Ἀδρίαν, ἐξελάσαντες δὲ τοὺς ἐνταυθοῖ οἰκοῦντας Αὔσονας αὐτοὶ καθιδρύθησαν. ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, Ἰλλυριοὶ Μεσσάπιοι [1]). ἔπειτα δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν

1) Scribebatur *Ἰλλυριοί, Μεσσάπιοι*, in quo non solum copulae defectus offendit, sed multo magis etiam hoc, quod Illyriorum, etsi et ipsi cum Messapiis maior exercitus pars erant, nulla tamen in assignanda terra ratio habita est. Itaque Nicandrum puto nominasse Messapios *ab Illyria oriundos*. quamquam inter Illyriae populos non memini Messapios ab aliis memoratos esse. sed fuit tamen ibi quoque urbs *Ἰαπυγία*. cf. Steph. Byz. p. 322, 11. At fortasse Anton. scripsit *Ἰλλύριοι Μεσσα-*

ἐμέρισαν τριχῇ καὶ ὠνόμασαν ὡς ἑκάστοις ἡγεμόνος εἶχε Δαυνίους καὶ Πευκετίους καὶ Μεσσαπίους. τὸ μὲν ἀπὸ Τάραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰαπυγίας [1]) *ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον· τὸ δὲ παρὰ ταύτην* [2]) *ἐντὸς τοῦ Τάραντος ἐγένετο Πευκετίων. ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης ἐπιπλέοντι* [3]) *Δαύνιοι· τὸ δὲ σύμπαν ἔθνος ὠνόμασαν Ἰαπύγων. καὶ ἐγένετο ταῦτα πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας. ἦν δὲ τοῖς τότε βίος ἀπὸ θρεμμάτων καὶ νομῆς. Μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ παρὰ τὰς λεγομένας ἱερὰς πέτρας φανῆναι νύμφας Ἐπιμηλίδας χορευούσας, τοὺς δὲ παῖδας τῶν Μεσσαπίων καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους εἰπεῖν, ὅτι βέλτιον αὐτοὶ χορεύουσιν. οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας καὶ τὸ νεῖκος ἐπιπλέον ἐγένετο περὶ τῆς χορείας. οἱ δὲ παῖδες ὅτι μὲν ἦν αὐτοῖς ἄμιλλα πρὸς δαίμονας ἠγνόουν, ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητάς, καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων ἄμουσος ἦν, ταῖς δὲ νύμφαις πᾶν ὅσον δὴ* [4]) *πλεῖστον ἐπέδωκεν εἰς κάλλος. καὶ ἐπεκράτησαν χορεύουσαι τῶν παίδων καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· „ὦ κοῦροι, τὸ νεῖκος ἤρασθε πρὸς Ἐπιμηλίδας νύμφας, οὐκοῦν, ὦ ἄφρονες, νικῶμενοι δώσετε δίκην. καὶ οἱ παῖδες ἵναπερ ἑστήκεσαν παρὰ τὸ ἱερὸν τῶν νυμφῶν ἐγένοντο δένδρη, καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης, οἷα θρηνούντων, ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων. —*

πίου, ut Messapius Illyriorum dux fuerit, aut *Ἰλλύριοι* male huc illatum ex fab. XXXVII.

1) Vulgo *τῆς Ἰταλίας*, quod, quum Italiae *ἐσχατιαὶ* plures sint, nemo putabit ab Antonino scribi potuisse.

2) Vulgo *παρὰ τήν*. intelligo: *παρὰ τὴν Μεσσαπίαν*, cuius nominis simul cum *τὸ — Μεσσαπίων* facta tacita memoria, unde etiam *ἐν ᾗ πόλις* explicatum habet.

3) In libris et scripto et editis fuit *ἐπέπλεον*, quod verum esse nequit, certe non eo sensu quem Munkerus statuit: „mare illud navibus invadebant et usum eius sibi sumebant." nam *τοῖς τότε βίος ἀπὸ θρεμμάτων καὶ νομῆς* erat, ut mox legimus lin. 7. Sed si quis ita vulgatum interpretabitur, ut Daunios classe profectos in eam regionem esse dicat quae ipsis distributione facta obtigisset, non imperfectum, sed aoristum ponendum fuisse apparet. Itaque *ἐπιπλέοντι* scripsi hoc sensu: si quis ulterius *τούτου* (i. e. „quam Peucetiorum ager est) in mare Adriaticum invehitur, Daunios inveniet. nam *τῆς θαλάσσης* aperte cum *ἐνδοτέρω* iungendum, ut *πόρρω τῆς ὁδοῦ* etc. dicitur.

4) Cod. *ὅσον ἢ πλεῖστον*. Bastius voluit *ὅσον ἦν πλ.* rectius utique quam qui *ἢ πλεῖστον* deleri iubent.

5. *Antonin. Liberal.* XXVI [1]). recte enim Munkerus pro *ἱστο-* 48
ρεῖ Νίκανδρος ἑτεροιουμένων δ΄ restituendum monuit — *ἑτεροιου-*
μένων β΄ propter schol. Apoll. Rhod. 1, 1236: *καὶ Νίκανδρος ἐν*
τῷ δευτέρῳ τῶν ἑτεροιουμένων ὑπὸ πασῶν φησιν αὐτὸν (τὸν Ὕλαν)
ἁρπαγῆναι τῶν Νυμφῶν, ὁ δὲ Ἀπολλώνιος ὑπὸ μιᾶς. quo aliquanto
negligentior scholiast. Theocriti XIII, 46 hoc dicit: *συμφωνεῖ δὲ*
τῇ ἁρπαγῇ καὶ Ἀπολλώνιος ὁ Ῥόδιος καὶ Νίκανδρος[2]). Antoninus
autem ita scribit: (*Ὕλας. ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β΄.*) *Ἡρα-*
κλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, στρατηγὸς ὑπ' αὐτῶν ἀπο-
*δειχθεὶς συνεπήγετο μεθ' αὑτοῦ καὶ Ὕλαν, παῖδα μὲν Κήυκος *ἰτυ-*
πος, νέον δὲ καὶ καλόν. ἐπεὶ δὲ πρὸς τὸ στενὸν ἐξίκοντο τοῦ Πόντου*
καὶ τὰ σφυρὰ παρέπλευσαν τῆς Ἀργανθώνης καὶ ἐγένετο χειμὼν καὶ
σάλος, ἐνταῦθα καταβαλόντες ἀγκύρας ἀνέπαυσαν τὴν ναῦν. καὶ Ἡρα-
κλῆς παρεῖχε τοῖς ἥρωσι τὸ δεῖπνον. ὁ δὲ παῖς Ὕλας ἔχων κρωσσὸν
ἦλθε πρὸς τὸν Ἀσκάνιον ποταμὸν ὕδωρ ἀπίσων τοῖς ἀριστεῦσι. καὶ
αὐτὸν ἰδοῦσαι νύμφαι, τοῦ ποταμοῦ τούτου θυγατέρες, ἠράσθησαν,
ἀρυόμενον δὲ καταβάλλουσιν εἰς τὴν κρήνην. καὶ ὁ μὲν Ὕλας ἀφα-
νὴς ἐγένετο, Ἡρακλῆς δ', ἐπεὶ αὐτῷ οὐκ ἐνόστει, καταλιπὼν τοὺς
ἥρωας ἐξερευνᾷ πανταχοῖ τὸν δρυμὸν καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν.
νύμφαι δὲ δείσασαι τὸν Ἡρακλέα, μὴ αὐτὸν εὕροι κρυπτόμενον παρ'
αὐταῖς μετέβαλον τὸν Ὕλαν καὶ ἐποίησαν ἠχώ. καὶ πρὸς τὴν βοὴν
πολλάκις ἀντεφώνησεν Ἡρακλεῖ. καὶ ὁ μὲν ὡς οὐκ ἐδύνατο πλεῖστα
ποιησάμενος ἐξευρεῖν τὸν Ὕλαν, παρεγένετο πρὸς τὴν ναῦν καὶ αὐ-
τὸς μὲν ἔπλει μετὰ τῶν ἀριστέων, Πολύφημον δὲ καταλείπει ἐν τῷ
χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ τὸν Ὕλαν. καὶ ὁ μὲν
Πολύφημος ἔφθη τελευτήσας, Ὕλᾳ δὲ θύουσι ἄχρι νῦν παρὰ τὴν κρή-
νην οἱ ἐπιχώριοι, καὶ αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ καὶ
εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

Tertii libri has superstites habemus fabulas:

1. *Antonin. Liberal.* I (*Κτήσυλλα. ἱστορεῖ Νίκανδρος ἑτεροιου-* 49
μένων γ΄) *Κτήσυλλα ἐγένετο Κεία τὸ γένος ἐξ Ἰουλίδος, Ἀλκιδάμαν-*
τος θυγάτηρ. ταύτην ἰδὼν Ἑρμοχάρης Ἀθηναῖος χορεύουσαν Πυ-
θίοις περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν Καρθαίᾳ ἐπεθύμησεν αὐ-

1) Fabulam XIV. iniuria huc referri supra monitum est.

2) Nicandri etiam in schol. ad Theocrit. XIII, 7 mentionem factam esse putabat Hemsterhusius corrupta ibi verba corigens ita: *Ἀπολλώνιος ὁ Ῥόδιος Θειοδάμαντος, Νίκανδρος δὲ Κήυκος.*

τῆς, καὶ ἐπιγράψας μῆλον ἔρριψεν ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος· ἡ δὲ ἀνείλετο καὶ ἀνέγνω. ἐγέγραπτο δὲ ὅρκος κατὰ[1]) τῆς Ἀρτέμιδος, ἣ μὴν γαμηθήσεσθαι Ἑρμοχάρει Ἀθηναίῳ. ἡ μὲν οὖν Κτήσυλλα ἀπέρριψε τὸ μῆλον αἰδεσθεῖσα καὶ χαλεπῶς ἤνεγκεν, ὥσπερ ὅτε Κυδίππην Ἀκόντιος ἐξηπάτησεν. Ἑρμοχάρει δὲ αἰτησαμένῳ κατήνεσε τὸν γάμον ὁ πατὴρ ὁ τῆς Κτησύλλης καὶ ὤμοσεν τὸν Ἀπόλλωνα τῆς δάφνης ἁψάμενος. ἐπεὶ δὲ διῆλθεν ὁ τῶν Πυθίων χρόνος, Ἀλκιδάμας ἐκλαθόμενος τὸν ὅρκον ὃν ὤμοσεν ἑτέρῳ συνῴκιζε τὴν θυγατέρα. καὶ ἡ παῖς ἔθυεν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ· χαλεπῶς δὲ φέρων Ἑρμοχάρης ἐπὶ τῷ τούτου διαμαρτεῖν εἰσέδραμεν εἰς τὸ Ἀρτεμίσιον. καὶ ἡ παῖς αὐτὸν ἰδοῦσα κατὰ θεῖον ἠράσθη, καὶ συνθεμένη διὰ τῆς τροφοῦ διαλαθοῦσα τὸν πατέρα νύχιον ἀπέπλευσεν εἰς τὰς Ἀθήνας, καὶ γάμος ἐπράχθη τῷ Ἑρμοχάρει. τεκοῦσα δ' ἡ Κτήσυλλα καὶ χαλεπῶς ἐκ τοῦ τόκου διατεθεῖσα ἐτελεύτησε κατὰ δαίμονα. ὅτι ὁ πατὴρ αὐτῆς ἐψεύσατο τὸν ὅρκον. καὶ τὸ μὲν σῶμα κομίσαντες ἔφερον ὅπως κηδεύσωσιν, ἐκ δὲ τῆς στρωμνῆς πελειὰς ἐξέπτη καὶ τὸ σῶμα τῆς Κτησύλλης ἀφανὲς ἐγένετο. χρωμένῳ δ' Ἑρμοχάρει ὁ θεὸς ἀνεῖπεν ἱδρύσασθαι ἱερὸν παρὰ τοῖς Ἰουλιήταις ἐπώνυμον Ἀφροδίτης[2]) Κτησύλλης· ἔχρησε δὲ καὶ τοῖς Κείοις· οἱ δὲ θύουσι ἄχρι νῦν. Ἰουλιῆται μὲν Ἀφροδίτην[3]) Κτήσυλλαν ὀνομάζοντες, οἱ δὲ ἄλλοι Κτήσυλλαν Ἐκαέργην. —

50 Ad hanc fabulam referendum esse Nicandri fragm. apud Athenae. III p. 82 a: *μνημονεύει δ' αὐτῶν (τῶν ἐν Σιδοῦντι μήλων) καὶ Νίκανδρος ἐν Ἑτεροιουμένοις οὕτως·*

αὐτίχ' ὅ γ' ἢ Σιδόεντος ἠὲ Πλείστου ἀπὸ κήπων
μῆλα ταμὼν χνοάοντα τύπους ἐνεμάσσετο Κάδμου —

primus coniecit Mellmannus l. l. p. 79, sed mox temere spreyit quoniam intelligi non possit quomodo in Cea insula versans Hermochares mala petere potuerit ἐκ Σιδόεντος, qui locus est in agro Corinthio, aut ex hortis ad Plistum, Phocidis fluvium[4]). at tum

---

1) *Κατὰ* Koch. dicit in codice obliteratum esse, Westermannus deletum esse. deletum si consilio est, iure putabimus Antoninum quidem rariori loquendi genere, quod in praepositione omissa cernitur (cf. Krüger. ad Xenoph. Anab. II, 5, 7), usum fuisse.

2) *Ἀφροδίτης* abesse malim.

3) Sequor Perizonii (ad Aelian. v. h. IV, 15) coniecturam etiam Hermanno (ap. Koch. l. l.) probatam. fuit *Ἀφροδίτη, Κτήσυλλαν*.

4) Propter Plistum Volkmannus p. 32 ad Phocidem fabulam rettulit arbitratu suo, non rationibus usus.

forte non meminerat vir optimus nullam facile olim fuisse panegyrin in quam non cadat illud, quod de Deliorum festis diebus agens Strabo dicit X p. 486: *ἡ πανήγυρις ἐμπορικόν τι πρᾶγμά ἐστι.* cf. Hermann. antiq. public. § 10 n. 8. Unde perspicitur ista optimi generis mala quomodo Hermochares sibi comparaverit, quae profecto non *ἀπέταμεν* ipse in hortis Siduntiis aut Delphicis. nam *ταμὼν* non iungendum cum *ἀπὸ κήπων*, sed cum *ἐνεμάσσετο*. sic enim optime Dindorfius correxit librorum lectiones *νωμήσσατο* vel *νεμέσσατο*. — *Χνοάοντα* pro *χλοάοντα* suaserat Iacobs. ad Antholog. Tom. VIII p. 203. —

2. *Antonin. Liberal.* II (*Μελεαγρίδες. ἱστορεῖ Νίκανδρος ἑτεροιου-* 51
μένων γ΄.) *Οἰνεὺς ὁ Πορθέως τοῦ Ἄρεως ἐβασίλευσεν ἐν Καλυδῶνι. καὶ ἐγένοντο αὐτῷ ἐξ Ἀλθαίας τῆς Θεστίου Μελέαγρος, Φηρεύς, Ἀγέλεως, Τοξεύς, Κλύμενος, Περίφας, θυγατέρες δὲ Γόργη, Εὐρυμήδη, Δηιάνειρα, Μελανίππη. ἐπεὶ δ΄ ἔθυεν ἀπαρχὰς ὑπὲρ τῆς χώρας, ἐκλανθάνεται τῆς Ἀρτέμιδος. αὕτη κατὰ μῆνιν ἐφορμᾷ σὺν ἄγριον, ὃς κατέφθειρε τὴν γῆν καὶ πολλοὺς ἀπέκτεινεν. ἔπειτα Μελέαγρος καὶ οἱ Θεστίου παῖδες συνήγειραν τοὺς ἀριστέας ἐκ τῆς Ἑλλάδος ἐπὶ τὸν σῦν, οἱ δὲ ἀφικόμενοι κτείνουσιν αὐτόν· ὁ δὲ Μελέαγρος διανείμας τὰ κρέα αὐτοῦ τοῖς ἀριστεῦσιν τὴν κεφαλὴν καὶ τὸ δέρος ἐξαιρεῖ γέρας ἑαυτῷ. Ἄρτεμις δὲ, ἐπεὶ τὸν ἱερὸν σῦν ἔκτειναν, ἔτι μᾶλλον ἐχολώθη καὶ νεῖκος ἐνέβαλεν αὐτοῖς. οἱ γὰρ παῖδες οἱ Θεστίου καὶ οἱ ἄλλοι Κουρῆτες ἅπτονται τοῦ δέρους, φάμενοι μετεῖναι τὰ ἡμίσεια τῶν γερῶν ἑαυτοῖς· Μελέαγρος δ΄* [1]) *ἀφαιρεῖται κατὰ βίαν καὶ κτείνει τοὺς Θεστίου παῖδας. Ἐκ ταύτης τῆς προφάσεως πόλεμος ἐγένετο Κουρῆσι καὶ Καλυδωνίοις· καὶ ὁ Μελέαγρος εἰς τὸν πόλεμον οὐκ ἐξήει, μεμφόμενος ὅτι αὐτῷ κατηράσατο ἡ μήτηρ διὰ τὸν τῶν ἀδελφῶν θάνατον. ἤδη δὲ τῶν Κουρήτων μελλόντων αἱρεῖν τὴν πόλιν ἔπεισε τὸν Μελέαγρον ἡ γυνὴ Κλεοπάτρα τοῖς Καλυδωνίοις ἀμῦναι· ὁ δὲ ἀναστὰς ἐπὶ τὸν στρατὸν τῶν Κουρήτων καὶ αὐτὸς ἀποθνήσκει τῆς μητρὸς ἐμπρησάσης τὸν παρὰ τῶν Μοιρῶν* [2]) *αὐτῇ δοθέντα δαλόν· ἐπέκλωσαν γὰρ ἐπὶ τοσοῦτον αὐτὸν ἔσεσθαι χρόνον ἐφ΄ ὅσον ἂν ὁ δαλὸς διαμένοι. ἀπέθανον δὲ καὶ οἱ ἄλλοι παῖδες Οἰνέως μαχόμενοι, καὶ πέν-*

1) δ΄ addidi Westermanno suasore.

2) Scribebatur *μοιρῶν*. Contra nescio cur in cultissima Quinti editione Koechly scripserit IX, 502 et alibi *ὑπὸ δαίμονος Αἴσῃ*, praesertim quum X, 396 idem dederit *ὑπὸ δαίμονος αἴσῃ*.

θος ἐπὶ Μελεάγρῳ μέγιστον ἐγένετο παρὰ Καλυδωνίοις. Αἱ δὲ ἀδελφαὶ αὐτοῦ παρὰ τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως, ἄχρις αὐτὰς Ἄρτεμις ἁψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον ὀνομάσασα Μελεαγρίδας· αἱ δὲ ἄχρι νῦν ἔτι καθ' ὥραν ἔτους λέγονται πένθος ἐπὶ Μελεάγρῳ φέρειν. δύο δὲ τῶν Ἀλθαίας θυγατέρων, Γόργην καὶ Δηιάνειραν, φασὶν κατ' εὐμένειαν Διονύσου μὴ μεταβαλεῖν, ὅτι τὴν χάριν αὐτῷ Ἄρτεμις διδοῖ. — Huc Volkmannus p. 32 pertinere dicit fragm. ap. Athenae. II p. 35 a: ὅτι τὸν οἶνον ὁ Κολοφώνιος Νίκανδρος ὠνομάσθαι φησὶν ἀπὸ Οἰνέως·

Οἰνεὺς δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν
οἶνον ἔκλησε.

quos versus affert etiam Suid. s. οἶνος. Ego tamen malim cum Schweighaeusero ad Georgica referre, quoniam non video ab Antonino excerptis quomodo aliter inseri possint nisi ut statuas altius etiam quam in Antonini excerptis narratam videmus rem repetitam a Nicandro fuisse. —

52 3. *Antonin. Liberal.* XII (Κύκνος. ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ' καὶ Ἄρευς ὁ Λάκων ἐν ᾄσματι Κύκνῳ.) Ἀπόλλωνος καὶ Θυρίης τῆς Ἀμφινόμου παῖς ἐγένετο Κύκνος. οὗτος ἦν εὐσχήμων τὴν ὄψιν, τὸ δὲ ἦθος ἄχαρις καὶ ἄγροικος, πρὸς κυνηγέσια ἐκτόπως φιλότιμος. ᾤκει δ' ἐπὶ τῶν ἀγρῶν τὸ μέσον Πλευρῶνος καὶ Καλυδῶνος. ἐγένοντο δ' αὐτοῦ καὶ ἐρασταὶ πλεῖστοι διὰ τὸ κάλλος· ὁ δὲ Κύκνος καθ' ὑπεροψίαν προσίετο αὐτῶν οὐδένα· τάχιστα δὲ διαμισηθεὶς ἀπὸ μὲν τῶν ἄλλων ἐραστῶν καταλείπεται, Φύλιος δὲ μόνος αὐτῷ συνέμενεν. ὁ δὲ καὶ τοῦτον οὐ μετρίως ἐξύβρισεν. ἐφάνη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ μέγα τι χρῆμα λέοντος ἐν Αἰτωλοῖς, ὃς αὐτούς τε καὶ τὰ θρέμματα διελυμαίνετο. τοῦτον οὖν τῷ Φυλίῳ προσέταξεν ὁ Κύκνος ἄνευ σιδήρου κτεῖναι· κἀκεῖνος ὑπέσχετο καὶ ἀνεῖλε μηχανῇ τοιαύτῃ· εἰδὼς ἥντινα ὥραν ἔμελλεν ὁ λέων ἐπιφοιτήσειν ἐνέπλησε τὴν γαστέρα πολλῶν σιτίων καὶ οἴνου, κἀπεὶ προσεπέλασεν ὁ θήρ, ἐξήμεσεν ὁ Φύλιος τὰ σιτία. καὶ ὁ λέων ὑπὸ λιμοῦ τροφῇ ταύτῃ χρησάμενος ἐκαρώθη ὑπὸ τοῦ οἴνου· ὁ δὲ Φύλιος περιβαλὼν τὸν βραχίονα τῇ ἐσθῆτι ᾗ ἐφόρει ἔφραξε τὸ στόμα τοῦ λέοντος, ἀνελὼν δὲ αὐτὸν καὶ ἀναθέμενος ἐπὶ τὸν ὦμον ἀπήνεγκε πρὸς τὸν Κύκνον, καὶ διεβοήθη παρὰ πολλοῖς ἐπὶ τῷ κατορθώματι τούτῳ. ὁ δὲ Κύκνος ἕτερον ἆθλον ἐπέταττεν ἀτοπώτερον. ἐγένοντο γὰρ ἐν τῇ γῇ ταύτῃ γῦπες, ὑπερφυές τι καὶ μέγα χρῆμα, καὶ πολλοὺς ἀπεκτίννυον ἀνθρώπους· τούτους ἐκέλευε συλλαβεῖν ζῶντας καὶ ἀπενεγκεῖν ἔξω πάσης μηχανῆς. ἀπορούντι

δὲ τῷ Φυλίῳ πρὸς τὸ ἐπίταγμα κατὰ θεὸν ἀετὸς ἡρπακὼς λαγωὸν ημιθνῆτα κατέβαλε πρὶν ἀπενεγκεῖν εἰς τὰ οἰκεῖα. ὁ δὲ Φύλιος ἀναρρήξας τὸν λαγωὸν καὶ τοῦ αἵματος ἑαυτὸν ἀναπλήσας ἐπὶ τῆς γῆς ἔκειτο. οἱ μὲν οὖν ὄρνιθες ὡς ἐπὶ νεκρὸν ὥρμησαν, ὁ δὲ Φύλιος πιέσας τῶν σφυρῶν δύο καὶ κατασχὼν ἀπήνεγκεν πρὸς τὸν Κύκνον. ὁ δὲ αὐτῷ τρίτον ἔτι χαλεπώτερον ἆθλον ἐπέταττεν. ἐκέλευε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς ἀγέλης ταῖς χερσὶ λαβόντα μέχρι πρὸς τὸν βωμὸν τὸν τοῦ Διός. ὁ δὲ Φύλιος ἀμηχανῶν ὅτι χρήσεται πρὸς τὸ ἐπίταγμα ηὔξατο συλλαβέσθαι αὐτῷ τὸν Ἡρακλέα. καὶ πρὸς τὴν εὐχὴν ταύτην ἐφάνησαν δύο ταῦροι περὶ μίαν οἰστρήσαντες βοῦν καὶ τοῖς κέρασι τύπτοντες ἀλλήλους κατέβαλον εἰς τὴν γῆν· ὁ δὲ Φύλιος, ἐπειδὴ παρεῖθησαν, τὸν ἕτερον ταῦρον ἀναψάμενος ἐκ τοῦ σκέλους ἀπήγαγεν ἄχρι πρὸς τὸν βωμόν, βουλήσει δὲ τοῦ Ἡρακλέους ἀμέλησε [1]) τῶν ἐπιταγμάτων τοῦ παιδός. τῷ δὲ Κύκνῳ παρέστη δεινὸν ἀτιμωθέντι παρὰ τὴν δόξαν, ἀθυμήσας δὲ κατέβαλεν ἑαυτὸν εἰς τὴν Κωνώπην λεγομένην λίμνην καὶ ἠφανίσθη· πρὸς δὲ τὸν θάνατον αὐτοῦ καὶ Θυρίη ἡ μήτηρ κατέβαλεν ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην, καὶ ἐγένοντο βουλῇ Ἀπόλλωνος ὄρνιθες ἀμφότεροι ἐν λίμνῃ. ἀφανισθέντων δὲ καὶ ἡ λίμνη μετωνομάσθη καὶ ἐγένετο κυκνείη, καὶ πολλοὶ ἐν τῇ ὥρᾳ τοῦ ἀρότου [2]) ἐνταῦθα φαίνονται κύκνοι. πλησίον δὲ κεῖται καὶ τὸ τοῦ Φυλίου σῆμα. —

Sequuntur *quarti* libri fabulae, quarum haec habemus frustula.

1. *Antonin. Liberal.* VIII (*Λαμία ἢ Σύβαρις. ἱστορεῖ Νίκανδρος* 53
ἑτεροιουμένων δ'.) *Παρὰ τὰ σφυρὰ τοῦ Παρνασσοῦ πρὸς νότον ὄρος ἐστίν, ὃ καλεῖται Κίρφις* [3]), *παρὰ τὴν Κρῖσαν, καὶ ἐν αὐτῷ ἐστιν ἔτι νῦν σπήλαιον ὑπερμέγεθες, ἐν ᾧ θηρίον ᾤκει μέγα καὶ ὑπερφυές, καὶ αὐτὸ Λαμίαν, οἱ δὲ Σύβαριν ὠνόμαζον. τοῦτο καθ' ἡμέραν ἑκάστην*

1) Fuit *ἀμελῆσαι*. sequor Bastium, nam augmentum neglectum ab Antonino etiam XVII, 1 (*ἰδεν*), XXVIII, 1 (*ἀρύσαντο*) et alibi.

2) Correxi accentum. in codice enim fuit *ἀροτοῦ*. cf. Spitzner. excurs. XXX ad Iliad.

3) Scribebatur *Κιρφίς*. accentum correxi ad normam ab Arcadio p. 32, 4 propositam cui convenit codicum in Strabon. I p. 265, 21 et I p. 270, 8 Kram. auctoritas. vide tamen Kramerum ad I, p. 270, 6. — Simili errore mox relicta erat forma Pindarica (cf. Spitzner ad Il. β, 520) *Κρίσαν*, qua vel Nicandrum usum esse parum probabile, nedum Antoninum. Neutri autem loco in codice qui superest unico quicquam auxilii, in quo haec quoque narratio hodie fere tota desideratur.

τὸ θηρίον ἐπιφοιτῶν ἀνήρπαζεν ἐκ τῶν ἀγρῶν τὰ θρέμματα καὶ τοὺς ἀνθρώπους. ἤδη δὲ τῶν Δελφῶν βουλευομένων ὑπὲρ ἀναστάσεως καὶ χρηστηριαζομένων εἰς ἥντινα παρέσονται χώραν, ὁ θεὸς ἀπύλυσιν ἐσήμανε τῆς συμφορᾶς, εἰ μένοντες ἐθέλοιεν ἐκθεῖναι παρὰ τῷ σπηλαίῳ ἕνα κοῦρον τῶν πολιτῶν. κἀκεῖνοι καθάπερ ὁ θεὸς εἶπεν ἐποίουν. Κληρουμένων δ' ἔλαχεν Ἀλκυονεὺς ὁ Διώμου καὶ Μεγανείρης παῖς, μονογενὴς ὢν τῷ πατρὶ καὶ καλὸς καὶ κατὰ τὴν ὄψιν καὶ τὸ τῆς ψυχῆς ἦθος. καὶ οἱ μὲν ἱερεῖς τὸν Ἀλκυονέα στέψαντες ἀπήγαγον εἰς τὸ τῆς Συβάριδος σπήλαιον, Εὐρύβατος δὲ κατὰ δαίμονα ἐκ τῆς Κουρήτιδος ἀπιὼν ὁ Εὐφήμου παῖς, γένος μὲν ἔχων Ἀξίου τοῦ ποταμοῦ, νέος δ' ὢν καὶ γενναῖος, ἐνέτυχεν ἀγομένῳ τῷ παιδί, πληγεὶς δ'[1]) ἔρωτι καὶ πυθόμενος καθ' ἥντινα πρόφασιν ἔρχονται, δεινὸν ἐποιήσατο μὴ οὐκ ἀμῦναι πρὸς δύναμιν. ἀλλὰ περιδεῶς αἰτρῶς ἀναιρεθέντα τὸν παῖδα. περισπάσας οὖν ἀπὸ τοῦ Ἀλκυονέως τὰ στέμματα καὶ αὐτὸς ἐπὶ τὴν κεφαλὴν ἐπιθέμενος ἐκέλευεν ἀπάγειν ἑαυτὸν ἀντὶ τοῦ παιδός. ἐπεὶ δὲ αὐτὸν οἱ ἱερεῖς ἀπήγαγον, εἰσδραμὼν καὶ τὴν Σύβαριν ἐκ τῆς κοίτης συναρπάσας παρήνεγκεν εἰς ἐμφανὲς καὶ κατὰ τῶν πετρῶν ἔρριψεν· ἡ δὲ καταφερομένη προσέκρουσε τὴν κεφαλὴν παρὰ τὰ σφυρὰ τῆς Κρίσης· καὶ αὐτὴ μὲν ἐκ τοῦ τραύματος ἀφανὴς ἐγένετο, ἐκ δὲ τῆς πέτρας ἐκείνης ἀνεφάνη πηγή, καὶ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι Σύβαριν· ἐκ δὲ ταύτης καὶ Λοκροὶ πόλιν ἐν Ἰταλίᾳ Σύβαριν ἔκτισαν. —

54 2. *Antonin. Liberal.* IX (Ἡμαθίδες. ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.) Ζεὺς Μνημοσύνῃ μιγεὶς ἐν Πιερίᾳ Μούσας ἐγέννησεν. ὑπὸ δὲ τὸν χρόνον τοῦτον ἐβασίλευε Πίερος αὐτόχθων Ἡμαθίας, καὶ αὐτῷ θυγατέρες ἐγένοντο ἐννέα, καὶ χορὸν ἐναντίον ἔστησαν αὗται Μούσαις, καὶ ἀγὼν ἐγένετο μουσικῆς ἐν τῷ Ἑλικῶνι. ὅτε μὲν οὖν αἱ θυγατέρες ᾖδοιεν τοῦ Πιέρου, ἐπήχλυε πάντα καὶ οὐδὲν ὑπήκουε πρὸς τὴν χορείαν, ὑπὸ δὲ Μουσῶν ἵστατο μὲν οὐρανός καὶ ἄστρα καὶ θάλασσα καὶ ποταμοί, ὁ δ' Ἑλικὼν ηὔξετο κηλούμενος ὑφ' ἡδονῆς εἰς τὸν οὐρανόν, ἄχρις αὐτὸν βουλῇ Ποσειδῶνος ἔπαυσεν ὁ Πήγασος τῇ ἁπλῇ τὴν κορυφὴν πατάξας. ἐπεὶ δὲ νεῖκος ἤραντο θνηταὶ θεαῖς, μετέβαλον αὐτὰς αἱ Μοῦσαι καὶ ἐποίησαν ὄρνιθας ἐννέα· καὶ ἔτι νῦν ὀνομάζονται παρ' ἀνθρώποις κολυμβάς. ἴυγξ. κεγχρίς. κίσσα. χλωρίς. ἀκαλανθίς, νῆσσα, πιπώ, δρακοντίς. —

55 3. *Antonin. Liberal.* X (Μινυάδες. ἱστορεῖ Νίκανδρος ἑτεροιου-

---

1) δ' addidi, quod suaserat Westermann.

μένων δ΄ καὶ Κόρινα.) Μινύου τοῦ Ὀρχομενοῦ ἐγένοντο θυγατέρες Λευκίππη, Ἀρσίππη, Ἀλκαθόη· καὶ ἀπέβησαν ἐκτόπως φιλεργοί, πλεῖστα δὲ καὶ τὰς ἄλλας γυναῖκας ἐμέμψαντο, ὅτι ἐκλιποῦσαι τὴν πόλιν ἐν τοῖς ὄρεσιν ἐβάκχευον, ἄχρι Διόνυσος εἰκασθεὶς κόρῃ παρῆνεσεν αὐταῖς μὴ ἐκλείπειν τελετὰς ἢ μυστήρια τοῦ θεοῦ. αἱ δὲ οὐ προσεῖχον. πρὸς δὴ ταῦτα χαλεπήνας ὁ Διόνυσος ἀντὶ κόρης ἐγένετο ταῦρος καὶ λεὼν καὶ πάρδαλις, καὶ ἐκ τῶν κελεύντων ἐρρύη νέκταρ αὐτῷ καὶ γάλα. πρὸς δὲ τὰ σημεῖα τὰς κόρας ἔλαβε δεῖμα. καὶ μετ' οὐ πολὺ κλήρους εἰς ἄγγος αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δ' ὁ κλῆρος ἐξέπεσε Λευκίππης, ηὔξατο θῦμα τῷ θεῷ δώσειν. καὶ Ἵππασον τῆς ἑαυτῆς παῖδα διέσπασε σὺν ταῖς ἀδελφαῖς. καταλιποῦσαι δὲ τὰ οἰκεῖα τοῦ πατρὸς ἐβάκχευον ἐν τοῖς ὄρεσιν καὶ ἐνέμοντο κισσὸν καὶ μίλακα καὶ δάφνην, ἄχρις αὐτὰς Ἑρμῆς ἀψάμενος τῇ ῥάβδῳ μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν ἡ μὲν ἐγένετο νυκτερίς, ἡ δὲ γλαῦξ, ἡ δὲ βύζα· ἔφυγον δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου. —

Itaque, ut dicam quae sit novae editionis ratio, Vaticanum codicem (K), qui et bonitate reliquos antecederet et unus omnium accurate excussus esset, ducem recensionis esse volui. cuius ita expressa est scriptura, ut ubi ab ea recedendum esset adnotaretur discrepantia. addidi quae e Gottingensi codice, cuius antiquiorem scripturam G, recentiorem g littera indicavi, et e Lorriano (L) a Schneidero, e Parisino (P) a Bussemakero exscripta sunt, ea lege ut, nisi quae plane adnotarentur, de reliquis non constaret. quo instituto quamvis supra modum cresceret adparatus, tamen neque careri istis ad corrigendam fidem Vaticani codicis neque aliter agi res cum fide potuit. eandem rationem secutus sum in iis quae ex vulgata recensione vel Aldina editione (A) adscripsi. cuius ut inutile erat integram discrepantiam adponere, ita alia vel ea de causa exhibenda erant, ut aliquo modo de G P, quorum scriptura ad illam recensionem excussa erat, constaret, alia per se sibi locum vindicabant. praeterea in iis quae ex antiquis scriptoribus ab interpretibus Nicandri adscripta erant adnotavi discrepantiam codicis Veneti 477 (V) et Riccardiani 56 (R), non quo eximium auxilium inde accedere crederem, sed ut post Vaticanum librum, quocum illi fere consentiunt, non facile quidquam novi aliis codicibus conlatis peti posse eorum exemplo probarem. reliquum est ut addam, cum in Vaticano codice diversorum interpretum commentarii, unde scholia quae nunc habentur conflata sunt, ac-

curatius quam in editis exemplaribus modo addito ἄλλως modo omisso disiuncta sint, in his ita me fidem antiquitatis revocasse ut ubi certis indiciis diversi interpretis adnotatio deprehenderetur maiore littera posita a praecedentibus discerneretur.

Alexipharmacorum scholia non me auctore addita sunt, sed quoniam ea aegre desiderari in nova editione suo iure existimabat O. Schneiderus, cum sine libris manu scriptis nihil mutari cum aliqua probabilitate in tam incertae fidei commentariis posset, ex Parisino exemplo repetita sunt.

INDEX SCRIPTORUM.

Acusilaus 5, 6
Aeschylus *ἐν Βασσαρίσιν* 24, 25. (*Προμηθεῖ*) 86, 25
Agathocles *ἐν τῷ περὶ διαίτης* 49, 20
Alcaeus 48, 15
Alexander *ἐν τῷ περὶ θηριακῶν* 72, 19
Amphilochus 48, 28
Amyntas 64, 33
Anacreon *ἐν τῷ περὶ ῥιζοτομικῆς* 47, 9
Andreas 65, 24. 100, 41 *ἐν τῷ ἐπιγραφομένῳ Νάρθηκι* 55, 7
Antigonus 12, 6. 20, 9. 31, 18. 45, 16. 46, 23. 60, 9. 62, 19. 67, 7
Antimachus 4, 12. 25, 15. 38, 18
Apollas *ἐν τῷ περὶ βοτανῶν* 44, 16
Apollodorus 26, 40. 40, 35. 62, 22. 108, 4. 109, 9. *ἐν τῷ περὶ θηρίων* 58, 8. 67, 28
Apollodorus *ἐν τοῖς Ὁμήρου* 98, 2
Apollonius 26, 2. 44, 40
Apollonius *ὁ Μεμφίτης* 8, 26
Apollonius *ὁ Ῥόδιος ἐν τῇ τῆς Ἀλεξανδρείας κτίσει* 5, 7. (*Ἀργοναυτικοῖς*) 37, 10
Apollophanes 40, 5
Aratus 14, 14. 34, 2
Archelaus *ἐν τοῖς Ἰδιοφυέσι* 65, 22
Archilochus 16, 27. 20, 3. 27, 3
Aristarchus 60, 38. 73, 36
Aristeas (?) 55, 4
Aristides 30, 22
Aristophanes *ἐν τῷ Γήρᾳ* 25, 17
Aristoteles 8, 10. 40, 32. 51, 15. 58, 8. 64, 26. 94, 15. 98, 6. *ἐν τῷ περὶ ζῴων* 95, 12 *ἐν τῷ ἐννεακαιδεκάτῳ περὶ ζῴων* 78, 35
Axylus 24, 28
Bolus *ὁ Δημοκρίτειος ἐν τῷ περὶ συμπαθειῶν καὶ ἀντιπαθειῶν* 61, 26
Callimachus 7, 8. 41, 22. 82, 31. 83, 11. 87, 40. 100, 12. 101, 12. 109, 45. (*εἰς Ἄρτεμιν*) 29, 13. (*εἰς Δία*) 77, 37. *ἐν τῇ Ἑκάλῃ* 71, 18
Chrysippus *ἐν τῷ περὶ λαχάνων* 66, 32
Cleanthes 36, 14
Corinna 5, 24
Crates 73, 43
Cratevas 42, 36. 49, 2. 52, 27. 55, 40. 64, 27; 31. 68, 1 *ἐν τῷ Ῥιζοτομικῷ* 54, 25
Demetrius 32, 6. 49, 18. 60, 9. 62, 19. *ὁ Χλωρός* 31, 17. 43, 4. 46, 20 *ὁ Μενεκλέους* 68, 19
Demophon 97, 25
Dino *ἐν τῷ πρώτῳ τῆς τρίτης συντάξεως* 48, 10
Diocles 50, 3 *ἐν τῷ Ῥιζοτομικῷ* 51, 47
Diogenianus 21, 25
Dionysius *ὁ περιηγητής* 18, 2. 47, 27
Dionysius *ἐν τοῖς Ῥιζοτομικοῖς* 41, 21
Dionysius *ὁ Φασηλίτης ἐν τῷ περὶ τῆς Ἀντιμάχου ποιήσεως* 3, 1 *ἐν τῷ περὶ ποιητῶν* 3, 2
Dioscorides 8, 21
Empedocles 36, 24
Epenetus *ἐν τῷ περὶ λαχάνων* 46, 22
Erasistratus 81, 32
Eratosthenes 33, 18. 38, 4; 21
Eteocles (?) *ἐν τῷ Ῥιζοτομικῷ* 51, 21
Euphorio 6, 10. 7, 10. 18, 13. 24, 22. 34, 5. 68, 6. 85, 31. 100, 16
Euripides 35, 2
Glossographi 93, 5
Heraclitus 87, 7; 10
Hermesianax 4, 4. 73, 37
Hermonax *ἐν ταῖς Κρητικαῖς λέξεσι* 41, 14
Herodes *ὁ ἡμιαμβικὸς ἐν τῷ ἐπιγραφομένῳ Ὕπνῳ* 31, 8
Herodotus *ἐν τῷ γ* 73, 12. *ἐν τῇ τετάρτῃ* 48, 12
Hesiodus 5, 5; 26. 36, 27. (*Ἔργοις καὶ Ἡμέραις*) 4, 35. 49, 32. 52, 31. 101, 1. (*Θεογονίᾳ*) 83, 16
Hippocrates 79, 34. 82, 16

Hipponax 38, 9. 39, 2. 102, 3. *ἐν τῷ πρώτῳ τῶν ἰάμβων* 50, 21
Homerus 62, 26. 73, 35. 77, 24. 85, 2. 89, 19 (*Ἰλιάδος α*) 37, 3. 46, 37 *β* 17, 36. 27, 4. 98, 16. 106, 20 *γ* 36, 29 *δ* 38, 2 *ξ* 85, 21. 88, 6 *ι* 16, 14 *κ* 19, 17 *λ* 96, 24 *ξ* 89, 15. 98, 2 *ο* 3, 31 *ρ* 10, 23 *π* 82, 2. 98, 6 *ν* 14, 12 *ψ* 35, 4 *ω* 19, 24. 77, 14. (*Ὀδυσσείας β*) 83, 20 *δ* 3, 28 *ζ* 93, 1 *ι* 49, 7 *ν* 51, 9 *ρ* 60, 38. 69, 9 *σ* 101, 27 *υ* 85, 8 *φ* 28, 12 *χ* 6, 27. 60, 11 *ψ* 86, 22 *ω* 60, 32. 91, 29 *ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις ὕμνοις* 84, 40
Incerti poetae 47, 3. *ἐν τῇ Ἡρακλείᾳ* 22, 28
Iolaus 55, 2 *ἐν τῷ περὶ Πελοποννησιακῶν πόλεων* 41, 28
Iuba *ὁ βασιλεὺς ἐν τῷ Θηριακῷ* 58, 7
Lyco 46, 23
Lycophro 23, 20. 37, 19. 80, 19
Lysimachus *ὁ Ἱπποκράτειος* 97, 27
Menander 89, 32
Menecrates 87, 7
Metrodorus *ἐν τῷ περὶ συνηθείας* 48, 17
Micio (Micto) 45, 45. *ἐν τῷ περὶ ῥιζοτομικῶν* 49, 1
Nicander 3, 1. 20, 11. 29, 11. 37, 12. 62, 18 *περὶ Αἰτωλίας συγγράμματα* 3, 17 *ἐν Γλώσσαις* 32, 3 *ἐν τρίτῳ τῶν Θηβαϊκῶν* 20, 6 *ἐν τοῖς Κιμμερίοις* 32, 11 *ἐν τῷ περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν* 4, 9 *ἐν τῷ Ὀφιακῷ* 31, 22 *ἐν τῇ Σικελίᾳ* 32, 9 *ἐν τῷ ἐπιγραφομένῳ Ταχίνθῳ* 46, 21
[Nicoon 45, 25.]
Numenius 21, 22. 22, 23. 41, 20 *ἐν τῷ Θηριακῷ* 50, 32
Oppianus 12, 24. 46, 28
Parmeno *ἐν τοῖς ἰάμβοις* 64, 14
Petrichus *ἐν Ὀφιακοῖς* 44, 13 *ἐν τῷ Ὀφιακῷ* 50, 5
Philetas 4, 4
Phocylides 101, 4
Plutarchus 12, 9
Praxagoras 94, 11. 98, 10. 108, 35
Proverbium *καὶ κόρκορος ἐν λαχάνοις* 49, 30
Sophocles *ἐν Ἀλχμαιωτίσιν* 6, 4 *ἐν Κωφοῖς* 29, 2
Sophro 41, 31. 68, 8. *ἐν μίμοις* 18, 12
Sostratus 60, 6 *ἐν τῷ περὶ φύσεως ζῴων* 44, 30 *ἐν τῷ περὶ βλητῶν καὶ δακέτων* 61, 4; 24
Theocritus 12, 1. 45, 27. 49, 26.
Theo *ἐν ὑπομνήματι* 21, 25
Theophilus *ὁ Ζηνοδότειος* 5, 8
Theophrastus 8, 22. 27, 26. 34, 16. 40, 20. 44, 27. 47, 6. 52, 28. 67, 24. 69, 29. 73, 11. 109, 43. *ἐν τῷ περὶ φυτῶν* 48, 25. 51, 18 *ἐν τῷ τετάρτῳ τῶν φυτικῶν* 83, 6
Tyrannio 8, 25
Tzetzes 77, 16. 107, 41

SCHOLIA

IN

NICANDRI THERIACA

EX RECENSIONE

HENRICI KEILII

Digitized by Google

Νίκανδρον τὸν ποιητὴν Διονύσιος ὁ Φασηλίτης ἐν τῷ περὶ τῆς Ἀντιμάχου ποιήσεως Αἰτωλὸν εἶναί φησι τὸ γένος· ἐν δὲ τῷ περὶ ποιητῶν ἱερέα φησὶν αὐτὸν τοῦ Κλαρίου Ἀπόλλωνος ἐκ προγόνων τὴν ἱερωσύνην δεξάμενον. καὶ αὐτὸς δὲ ὑπὲρ αὑτοῦ ἐν τῷ τέλει τῆς βίβλου φησί (Ther. 958)

τὸν ἔθρεψε Κλάρου νιφόεσσα πολίχνη.

Κλάρος δὲ τόπος ἐστὶν Ἀπόλλωνος ἱερός. υἱὸν δέ φησιν αὐτὸν Δαμαίου οὕτω λέγων,

αἰνήσεις υἷα πολυμνήστοιο Δαμαίου.

χρόνῳ δὲ ἐγένετο κατὰ Ἄτταλον τὸν τελευταῖον ἄρξαντα Περγάμου, ὃς κατελύθη ὑπὸ Ῥωμαίων, ᾧ προσφωνεῖ λέγων οὕτως,

Τευθρανίδης, ὦ κλῆρον ἀεὶ πατρώιον ἴσχων,
κέκλυθι, μηδ' ἄμνηστον ἀπ' οὔατος ὕμνον ἐρύξῃς,
Ἄτταλ', ἐπεί σεο ῥίζαν ἐπέκλυον Ἡρακλῆος
ἐξέτι Λυσιδίκης τε περίφρονος, ἣν Πελοπηίς
Ἱπποδάμει' ἐφύτευσεν, ὅτ' Ἀπίδος ἤρατο τιμήν.

διέτριψε δὲ ἐν Αἰτωλίᾳ τοὺς πλείονας χρόνους, ὡς φανερὸν ἐκ τῶν περὶ Αἰτωλίας συγγραμμάτων καὶ τῆς ἄλλης ποιήσεως ποταμῶν τε τῶν περὶ Αἰτωλίαν καὶ τόπων τῶν ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων διηγήσεως, ἔτι δὲ καὶ φυτῶν ἰδιότητος.

1. Ῥεῖά κέ τοι: ὁ νοῦς, ῥᾳδίως σοι τὰ εἴδη καὶ τὰς βλάβας τῶν φονευτικῶν καὶ ὀλεθρίων θηρῶν ἀπροόπτως καὶ ἀθρόως βλαπτούσας τήν τε ἴασιν καὶ θεραπείαν τὴν ἀντιπαθῆ τοῦ πόνου, ὦ τῶν πολλῶν συγγενῶν ἐνδοξότατε καὶ προσφιλέστατε Ἑρμησιάναξ, ἀσφαλῶς καὶ ἀκριβῶς διηγήσομαι. σίνη γὰρ τὰ βλαπτικὰ τύμματα τῶν θηρίων φησί, κατὰ περίφρασιν τῶν θηρίων τὰ εἴδη καὶ τὰς βλάβας. ὀλοφώια δέ, τουτέστι φῶτας ἀναιροῦντα, ἤγουν ἄνδρας ὀλλύντα, οὐχ Ὁμηρικῶς· ὀλοφώια γὰρ ἐκεῖνος τὰ ὀλέθρια εἶπεν (Od. Δ 460) „γέρων ὀλοφώια εἰδώς." 2. ἑτεραλκέα δὲ τὴν ἀντιπαθῆ ἀλκὴν λέγει, ὅ ἐστι μηχανὴν ἐναντίαν τῷ τύψαντι, οἷον τὴν θεραπείαν ἐμποιοῦσαν τοῖς τύμμασι τῶν δακέτων, ὥσπερ Ὅμηρος (Il. Ο 738) „ἑτεραλκέα δῆ-

---

2 περὶ τῶν ποιητῶν G 6 κλαρίου K 7 δαμαίου G δημαίου K δημναίου corr. δαμναίου P 9 δαμαίου KG δαμναίου A 11 προσφωνεῖ που λέγων G 12 ὦ PR ᾧ KG ὃς A ἴσχων PR ἴαχων K ἴσχεις A 13 ἄμνητον K 14 ἐπίκλυον P 15 ἐξέτι O. Schneiderus p. 2 εἰσέτι codices Λυσιδίκης I. G. Schneiderus praef. p. XII conl. Plut. Thes. 7 schol. Pind. Ol. 7, 49 λυσιακῆς KRA 16 ἱπποδάμει' ἐφύτευσεν R ἱπποδάμεια ἐφύτευσεν KP ἱπποδάμη ἐφύτευσεν G ἱπποδάμεια φύτευσεν A 16 ὅθ' ἄπιδος KPGR ὅτ' ἄπιδος A ἤρετο R 28 ἐκεῖνος γὰρ ὀλοφώια ἔφη τὰ δόλια G

μον ἔχοντες." τὸ δὲ *κήδευς* Ἰωνικὸν ἀντὶ τοῦ *κήδεος*. τὸ δὲ *κῆδος* σημαίνει τρία, τὴν ἐξ ἐπιγαμβρείας συγγένειαν καὶ τὴν φροντίδα καὶ τὸ κακόν, ὡς ἐνταῦθα.

3. *φίλ' Ἑρμησιάναξ*: ὁ Ἑρμησιάναξ οὗτος φίλος τῷ Φιλητᾷ καὶ γνώριμος ἦν. τούτῳ δὲ τὰ Περσικὰ γέγραπται καὶ τὰ εἰς Λεόντιον τὴν ἐρωμένην. οὐ δύναται δὲ Νίκανδρος μνημονεύειν τούτου διὰ τῆς προσφωνήσεως διὰ τὸ τὸν Φιλητᾶν πρεσβύτερον εἶναι Νικάνδρου. καὶ αὐτὸς δὲ ὁ Νίκανδρος μέμνηται τοῦ Ἑρμησιάνακτος ὡς πρεσβυτέρου ἐν τῷ περὶ τῶν ἐκ Κολοφῶνος ποιητῶν. ἔστιν οὖν οὗτος ἑταῖρος Νικάνδρου ὁμώνυμος τῷ πρώτῳ. δῆλον δὲ ὅτι συγγενὴς αὐτοῦ ἦν. ὁ γὰρ πηός σημαίνει τρία, τόν τε φίλον καὶ τὸν συγγενῆ, ἔτι δὲ καὶ τὸν κατ' ἐπιγαμίαν οἰκεῖον. ἔστι δὲ καὶ ὁ Νίκανδρος ζηλωτὴς Ἀντιμάχου, διόπερ πολλοῖς αὐτοῦ κέχρηται. διὸ καὶ ἐν ἑνίοις δωρίζει, ὡς καὶ νῦν ἐν τῷ *παῶν· πηῶν* γάρ ἐστιν, ὅ ἐστι συγγενῶν.

5. *βουκαῖος*: ἢ θεριστής, ἢ βουκόλος ὁ ζεύγεσι βοῶν ἑπόμενος, ἢ γεηπόνος ἁπλῶς. *ἀλέγοι* δὲ ἐν φροντίδι σχοίη καὶ τιμήσειε. *ὀροιτύπος* δὲ ὑλοτόμος. καὶ *ὕλην* τὸν σύνδενδρον τόπον. 6. *ἐπίλοιγον* δὲ *ὀδόντα* τὸν θανάσιμον, ἢ ἔπι *λοιγόν*, ἵν' ᾖ ἐπιβάλῃ τὸν λοιγὸν ὀδόντα. 7. *περιφρασθέντος* δὲ ἐγνωκότος, μεμαθηκότος. ἀπὸ αἰτιατικῆς δὲ μετέβη εἰς γενικήν, σὲ δ' ἂν πολύεργος τοῖα περιφρασθέντος, κατὰ διάλλαξιν τῆς φράσεως.

8. *φαλάγγια*: εἶδος μικρῶν ὄφεων. φασὶ δὲ ὅτι Ἀράχνη ἤρισε τῇ Ἀθηνᾷ περὶ ἔργων, γυνὴ οὖσα τὸ πρῶτον, καὶ διὰ τοῦτο μετεβλήθη εἰς τὸ νῦν ζῷον. *ἀνιγρούς* ἤτοι ἀνιαρούς, λυπηρούς, αἰτίους κακοῦ. *ἑρπηστὰς* δὲ εἶπε πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων ἑρπετῶν. ὅ τι γὰρ ἐρεῖ τις, πάντα ἑρπετά εἰσι καὶ ἕρπουσιν, ἀλλὰ λέγομεν ὅτι τὰ ἄλλα ἑρπετὰ ᾠοτοκοῦσιν, οἱ δὲ ἔχιες ζωοτοκοῦσι, τουτέστιν εὐθέως ἐκ τόκου ἕρποντα τὰ γεννήματα τίκτουσιν, ὅπερ οὐχ ὑπάρχει τοῖς ἄλλοις ἑρπετοῖς. ἐκεῖνα γὰρ ᾠὰ τίκτουσι καὶ οὐ ζῷα, ὡς οἱ ἔχιες. 9. *ἄχθεα* δὲ ἤτοι βλάβας. εἰ δὲ διὰ τοῦ ε *ἔχθεα*, τὰ στυγήματα καὶ τὰ ἐχθρά. ἐκ τοῦ αἵματος οὖν φησι τοῦ Τυφωέως μετὰ τὸ κεραυνωθῆναι αὐτὸν ταῦτα τὰ θηρία ἀνεδόθησαν.

11. *Ἀσκραῖος*: ὁ Βοιωτός. καὶ γὰρ Ἄσκρη κώμη Βοιωτίας ἐστίν, ὅθεν καὶ Ἡσίοδος ἐτύγχανεν, ὡς φησι καὶ αὐτὸς τῷ ἀδελφῷ αὐτοῦ Πέρσῃ διὰ τὸν αὐτῶν πατέρα (O et D 639)

νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέποτ' ἐσθλῇ.

---

2 ἐπιγαμβρίας A 4 φιλητᾷ, PL φιλητῇ K φιλιτᾷ G 5 τούτῳ GL τούτου KA τὰ εἰς λέον τὴν ἐρωμένην K τὰ εἰς λεόντιον τὸν ἐρώμενον (om. καὶ) G τὰ εἰς λέγοντα τὴν ἐρωμένην P τὰ λεγόμενα εἰς τὴν ἐρωμένην A 7 φιλητὴν KA 11 τὸν ἐξ ἐπιγαμβρίας οἰκεῖον A 13 πολλαῖς λέξεσιν αὐτοῦ gL 16 γαιηπόνος KA τιμήσει K τιμήσοι A ὀρειτύπος I. G. Schneiderus 17 ἐπίλοιγον δὲ ὀδόντα τὸν θανάσιμον ἢ ἐπὶ λοιγόν gL. λοιγὸν δὲ ὀδόντα τὸν θανάσιμον ἢ ἐπίλοιγον K λοιγὸν δὲ ὀδόντα, τὸν θανάσιμον. ἐπὶ λοιγὸν οὖν A 21 διάλεξιν KA 26 ἑρπετά ἐστι K 31 τυφοέως K 35 αὐτῶν gL αὐτοῦ K 36 ἄγχ' A ἄγχι V ἔγχε' K

ἰστέον δὲ ὅτι ψεύδεται ὁ Νίκανδρος ἐνταῦθα. οὐδαμοῦ γὰρ τοῦτο εἶπεν ἐν τοῖς πραττομένοις. Μελισσήεντα δέ φησι τὸν τόπον τοῦ Ἑλικῶνος, ἐν ᾧ εὗρε τὰς Μούσας, ὃς οὕτως ἐκλήθη ἀπὸ Μελισσέως βασιλεύσαντος τοῦ τόπου. περὶ γοῦν τῆς τῶν δακνόντων θηρίων γενέσεως, ὅτι ἐστὶν ἐκ τῶν Τιτάνων τοῦ αἵματος, παρὰ μὲν τῷ Ἡσιόδῳ οὐκ ἔστιν εὑρεῖν. Ἀκουσίλαος δέ φησιν ἐκ τοῦ αἵματος τοῦ Τυφῶνος πάντα τὰ δάκνοντα γενέσθαι. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῇ τῆς Ἀλεξανδρείας κτίσει ἀπὸ τῶν σταγόνων τοῦ τῆς Γοργόνος αἵματος. ὁ δὲ Ζηνοδότειος Θεόφιλος ἱστορεῖ ὡς ἄρα ἐν τῇ Ἀττικῇ δύο ἐγένοντο ἀδελφοί, Φάλαγξ μὲν ἄρσην, θήλεια δὲ Ἀράχνη τοὔνομα. καὶ ὁ μὲν Φάλαγξ ἔμαθε παρὰ τῆς Ἀθηνᾶς τὰ περὶ τὴν ὁπλομαχίαν, ἡ δὲ Ἀράχνη τὰ περὶ τὴν ἱστοποιίαν· μιχέντας δὲ ἀλλήλοις στυγηθῆναι ὑπὸ τῆς θεοῦ καὶ μεταβληθῆναι εἰς ἑρπετά, ἃ δὴ καὶ συμβαίνει ὑπὸ τῶν ἰδίων τέκνων κατεσθίεσθαι. 13. ἐν δὲ τῷ χαλαζήεντα εἶδος ἀντὶ γένους παρέλαβεν. εἰσὶ γὰρ σκορπίοι χαλαζήεντες διὰ τὸ τοὺς δεδηγμένους ὑπ' αὐτῶν ἱδρῶν, ὡς ὑπὸ χαλάζης ἢ ὑετοῦ βεβρεγμένους. Τιτηνὶς δὲ ἡ Ἄρτεμις, ἡ Λητοῦς θυγάτηρ καὶ Κοίου τοῦ Τιτᾶνος.

15. Βοιωτῷ: Ὑριεὺς γὰρ ὁ πατὴρ Ὠρίωνος Βοιωτός ἐστιν. Οὐαρίων δέ, ἐπειδὴ ἀπὸ τῶν οὔρων τοῦ Διὸς καὶ Ἀπόλλωνος καὶ Ποσειδῶνος ἐγένετο. ὁ δὲ Ὠρίων οὗτος, ὥς τινές φασι, τῇ Ἀρτέμιδι καὶ τῇ Λητοῖ ἐπηγγείλατο ὡς οὐδὲν τῶν θηρίων φεύξεται αὐτόν, ὑπὸ δὲ τοῦ σκορπίου πληγεὶς ἀπέθανεν. ὁ δὲ Ζεὺς κατηστέρισεν αὐτόν τε καὶ τὸν σκορπίον ἐν τοῖς ἄστροις εἰς σημεῖον τῆς πράξεως αὐτῶν. οἱ δὲ πλείους Ταναγραῶν εἶναί φασι τὸν Ὠρίωνα. Κόριννα δὲ εὐσεβέστατον λέγει αὐτόν, καὶ ἐπελθόντα πολλοὺς τόπους ἡμερῶσαι καὶ καθαρίσαι ἀπὸ θηρίων. Ἡσίοδος δέ φησιν αὐτὸν ἐξ Εὐρυάλης τῆς Μίνωος θυγατρὸς εἶναι καὶ Ποσειδῶνος, δοθῆναι δὲ αὐτῷ δωρεὰν ὡς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι καὶ ἐπὶ τῆς γῆς, ἐλθόντα δὲ εἰς Χίον πρὸς Οἰνοπίωνα Μερόπην τὴν γυναῖκα βιάσασθαι οἰνωθέντα· Οἰνοπίωνα δὲ χαλεπήναντα ἐκτυφλῶσαι τὸν Ὠρίωνα καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν· ἐλθόντα δὲ εἰς Λῆμνον Ἡφαίστῳ συμμῖξαι, ὃς ἐλεήσας αὐτὸν δίδωσιν αὐτῷ Κηδαλίωνα, ἕνα τῶν θεραπόντων, ὃς δὴ ὡδήγησεν αὐτὸν ἐπὶ τὰς ὁδούς. ἐλθὼν δὲ ἐπὶ τὰς ἀνατολὰς καὶ συμμίξας Ἡλίῳ καὶ ὑγιασθεὶς ἀνῆλθεν ἐπὶ τὸν Οἰνοπίωνα. ὁ δὲ Οἰνοπίων ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκέκρυπτο. ἀπελπίσας δὲ τὴν εὕρεσιν ᾤχετο εἰς Κρήτην καὶ ἐκυ-

---

5 τῷ ἡσιόδῳ A τοῦ ἡσιόδου K ἀρνεσίλαος G ἀρνσίλαος L 8 ζηνοδότειος GLP ζηνόδοτος KRA 10 ἄρσην GL ἄρσεν K 12 μιγέντας δὲ A μιγέντες K τῆς θεοῦ A τοῦ θεοῦ K 16 καὶ ὑετοῦ βεβρεγμένους A ἢ ὡς τοὺς βεβρεγμένους K 18 Ὑριεὺς schol. Hom. Il. Σ 486 ὡριεὺς KA: οὐριεὺς γὰρ ἦν ὁ πατὴρ ὡρίωνος ἐκλήθη δὲ οὕτως ἐπειδὴ G 21 κόριννα VR κόρινα KP κόρινος A 25 ἀπελθόντα codices. correxit I. G. Schneiderus 26 Ἡσίοδος] cf. schol. Arat. phaen. 322 Eratosth. catast. 32 Εὐρυάλης Eratosthenes l. c. Apollod. I 4, 3 ὑέλου KA 29 Μερόπην Eratosthenes et Apollodorus ἀλερόπην K ἀερόπην A 35 ἐκέκρυπτο P et Eratosthenes ἐκρύπτετο K καὶ ἐκνηγέτει P, om. K

νηγέτει, κἀκεῖσε ὁ σκορπίος πεμφθεὶς ὑπὸ Λητοῦς καὶ Ἀρτέμιδος χολουμένης αὐτῷ ἴσως διὰ τὴν μεγαλαυχίαν ἔπληξε τὸν Ὠρίωνα, καὶ οὕτως ἀπέθανε. 18. τὸ δὲ ὑπὸ λᾶι ἀντὶ τοῦ ὑπὸ λίθῳ, παρόσον ὑποκάτω τῶν λίθων οἱ σκορπίοι κρύπτονται, ὡς Σοφοκλῆς ἐν Αἰχμαλωτίσιν

ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.

τὸ δὲ λοχήσας γράφεται καὶ δοκήσας καὶ τυχήσας. καὶ εἰ μὲν δοκήσας, ἐπιτηρήσας· εἰ δὲ λοχήσας, ἐνεδρεύσας· εἰ δὲ τυχήσας, ἀντὶ τοῦ ἐπιτυχών, κύρσας. 20. κυνηλατέοντος δὲ ἀντὶ τοῦ κυνηγετοῦντος, ὡς Εὐφορίων

αὐτῷ σὺν τελαμῶνι νεοσμήκτῳ τε μαχαίρῃ.

22. ἐρίπνην τὴν ἀκρώρειαν λέγει παρὰ τὸ περιπνέεσθαι, οἷον πολλὰ πνέεσθαι, ἢ τὴν κοιλότητα παρὰ τὸ ἐριπέσθαι, ἤγουν πεσεῖν καὶ κοιλωθῆναι, ὃ καὶ νῦν σημαίνει. Ἄλλως. ἐρίπνη τὸ ῥῆγμα τοῦ ὄρους παρὰ τὸ δοκεῖν ἐριπέσθαι. 23. Αὐτοπόνοιο δὲ τῆς εἰκαίας καὶ αὐτοσχεδίου καὶ εὐτελοῦς χαμαιστρωσίας. παρὰ δὲ Ἀττικοῖς χαμευνάδες λέγονται μικρὰ κλινίδια. 24. τὸ δὲ πυρόεσσαν γράφεται καὶ πυιγόεσσαν, τουτέστι καυστικήν, ἐπεὶ οἱ ἐν ἀκμῇ ὄντες τοῦ καύματος δοκοῦσι πνίγεσθαι. 25. καὶ τὸ ἀκρέσπερος ἤτοι κατὰ τὴν ἀρχὴν τῆς νυκτός, οἷον περὶ ἄκραν ἑσπέραν. 27. κινώπετα δὲ τὰ θηρία τὰ ἐν τῷ πέδῳ κινούμενα, οἷον κινώπεδα ὄντα τινά. 28. δρυμοὺς δὲ τοὺς συμφύτους τόπους· πᾶν γὰρ δένδρον οἱ ἀρχαῖοι δρῦν ἐκάλουν. καὶ λασιῶνας τοὺς δασεῖς τόπους καὶ ὑλώδεις. ἀμορβαίους δὲ χαράδρας τὰς βουκολικὰς ἢ ποιμενικάς, ὅπου οἱ βουκόλοι περιπατοῦσιν.

29. λιστρωτόν: τὸ ὁμαλὸν καὶ ἐξυσμένον. λίστροι γὰρ οἱ ξυστῆρες· καὶ Ὅμηρος (Od. *X* 455) „λίστροισιν δάπεδον.“ ἡ δὲ σύνταξις οὕτως, καὶ περὶ τὸν λιστρωτὸν τόπον τῆς ἁλωνίας, καὶ ὅπου βοτάνη κυοῦσα καὶ θάλλουσα, οἷον τικτομένη καὶ αὐξομένη. 30. λάμνους δὲ τὰς ἰαμενάς, οἷον τοὺς συμφύτους τόπους. 32. μῶλυς δὲ βραδὺς καὶ νωθής, ἢ μογερός, ἢ νωχελὴς καὶ ἀπαλός, ὁ γεγηρακὼς ὄφις καὶ μόλις βαίνων· ἢ ὁ ταχὺς καὶ μολῶν. ἄμεινον δὲ τὸ πρῶτον.

---

4 *αἰχμαλώτοις* A 6 *ἐν πᾶσι* V *τοι* KV *τε* A 7 *καὶ τυχήσας* A, om. K 9 *κύρσας* O. Schneiderus, *κρούσας* KP, om. GL: *ἐπέτυχε κρούσας* A 11 *αὐτῷ* A, om. K *νεοσμίκτῳ* KP, quamquam de K dubitavi utrum *νεοσμίκτῳ* an *νεοτμίκτῳ* scriptum esset, *νεοτμήτῳ* A *τε μαχαίρῃ* K, om. A. omissum videri versum, in quo verbum *κυνηλατεῖν* positum fuisset, dixi obs. crit. in Cat. et Varr. p. 93 12 *περιπνέεσθαι* KPG *ἐριπνέεσθαι* A 13 *ἐριπέναι* KA 14 *ὃ καὶ νῦν σημαίνει. ἐρίπνη δὲ* K *ἄλλως ὃ καὶ νῦν σημαίνει ἐρίπνη* P 15 *ἐρίπισθαι* G *ἐρείπεσθαι* Bussemakerus *εἰκαίας* Bussemakerus *εἰκέας* P: *εἰκείας καὶ εὐτελεῖ* K *οἰκείας καὶ αὐτοσχεδίου καὶ εὐτελοῦς* A 19 *πνίγεσθαι* G *φλέγεσθαι* KP 23 *λασιῶνας* A *λασιῶντας* K 24 *ὅπου οἱ βουκόλοι περιπατοῦσιν* G *ὅπου βουκόλοι πατοῦσιν* KA 26 *λίστροι* A *λίστρον* P *λύστροι* K 27 *λίστροισι δάπεδος* P *λύστροισι δάπεδος* K *λίστροισι δαπέδοις* A 28 *τόπον* K *δρόμον* A *ἁλωνίας* KP *ἅλωνος* G 29 *βοτάνη κνισκομένη κύουσα* GL 30 *τὰς εἰαμενάς* G

ἰστέον δὲ ὡς οἱ ὄφεις ἐν τῷ χειμῶνι τυφλοὶ γίνονται ὑπὸ τοῦ παγετοῦ, ἐν δὲ τῷ ἔαρι γευσάμενοι μαλάθρου πάλιν ὀξυδορκοῦσι καὶ ἀναβλέπουσι καὶ τὸ λοιπὸν φεύγοντες τοὺς φωλεοὺς αὐτῶν εἰς ὑλώδεις ἔρχονται τόπους, ὃ δὴ καὶ Νίκανδρος νῦν λέγει.

33. μαλάθρου: ὁ χυλὸς τοῦ μαλάθρου ὀξυδορκίαν παρέχει, ὅθεν καὶ οἱ δράκοντες περιχρίουσιν ἑαυτῶν τὴν οὐράν. 35. θιβρὴν δὲ τὴν θερμὴν καὶ ὀξεῖαν διὰ τὰς ἐξ αὐτῆς γινομένας φλεγμονάς· Καλλίμαχος

Θιβρῆς Κύπριδος ἁρμονίης·

Εὐφορίων δέ

Θιβρήν τε Σεμίραμιν.

37. ἐγγαγίδα δὲ πέτρην τὴν γαγῖτιν λίθον· ἐν Γάγαις γὰρ τῆς Λυκίας εὑρίσκεται ἡ γαγίς. Ἡ γὰρ Γαγὶς πόλις τῆς Λυκίας, ἔνθα ὁ λίθος οὗτος εὑρίσκεται· γίνεται δὲ παρὰ τοῖς αἰγιαλοῖς μέλας τε καὶ χλωρός. Ταύτης δὲ τῆς λίθου τὸ πῦρ οὐχ ἅπτεται, ἀλλὰ μόνον καιομένη ἀσφαλτώδη ἔχει ἀποφυρὰν καὶ ὀσμήν, ὑφ' ἧς οἱ δράκοντες ἀποτρέπονται.

39. ἐν δὲ πολυσχιδέος βλήτρου: διότι εἰς πολλὰ ἔσχισται τὰ φύλλα αὐτοῦ. βλῆτρος δέ ἐστιν ἡ λεγομένη πτέρις, ἤγουν τὸ βλάχνον. ἔστι δὲ δριμεῖα καὶ δηκτική, διὸ καὶ τὰς πλατείας ἕλμινθας ἐκβάλλει καὶ ἀποσύρει μετὰ πολλῆς καθάρσεως χολώδους βίᾳ. 40. καχρυόεσσαν δὲ τὴν λιβανωτίδα λέγει, ὅτι ἡ ῥίζα αὐτῆς κριθῆς ῥίζῃ παρέοικε. περιθαλπέα δὲ τὴν θερμὴν ἢ περιθάλπουσαν. ἡ δὲ κάχρυς πυρώδης καὶ τραχεῖα καὶ τὴν ἀρτηρίαν ἀναχαράσσει καὶ τὴν γεῦσιν ἐκκαίει οὐχ ἧττον πεπέρεως.

41. καρδάμῳ: τὸ δὲ κάρδαμον δριμὺ καὶ πληκτικὸν καὶ πυρῶδες· διὸ καὶ λειχῆνας ἀποσμήχει, λέπρας ἐκτρίβει, ἄνθρακας ῥήσσει, ἕμμηνα κατάγει, πρὸς συνουσίαν ἐπείγει, τὸ νεῦρον τῇ θερμότητι κινοῦν. διὰ ταῦτα πάντα χαλεπὴν τοῖς θηρίοις ἐκπνεῖ ἀναθυμίασιν. ἰσοελκέι δὲ ἴσην ὁλκὴν ἔχοντι, ἤτοι ἰσοστάθμῳ. ἔνοδμον δὲ τουτέστι νεαρόν, ἔτι τὴν ὀσμὴν τοῦ κρέατος ἔχον νεωστὶ ἐσφαγμένου τοῦ ζῴου. ἢ ἔνοδμον νέον, οἷον ἄρτι κοπέν, ἀντὶ τοῦ ὠμόν. 42. ἀσκελὲς δὲ τὸ αὐτὸ σκέλος ἢ τὸν αὐτὸν πηχισμόν, ὅ ἐστιν ἴσον.

---

1 ἀπὸ KA 2 μαράθου A 3 ἠλιώδεις L 9 Θιβρῆς KVPGL Θιμβρὴς A Θιβροῦ R ἁρμονίης GLR ἁρμονόης V: in K utrum ἁρμονίης an ἁρμονόης esset non adparuit. ἁρμονίην A 11 Θιβρήν P Θιβρόν K Θιμβρόν VR Θιμβρήν A 12 ἐγγάγγιδα δὲ KA γαγγῖτιν KP γαγγῆτιν G γάγγαις KA 13 ἡ γαγγὶς K ἡ γὰρ γαγγὶς P ἡ γὰρ γάγγη gL. in K utrum γαγγὶς an γαγὶς esset non adparuit. 14 παρὰ τοῖς αἰγιαλοῖς PgL πρὸς τῆς αἰγιαλῆς K μέλας L μέλας ἢ μέγας g μέγας KP 16 καιομένη A καιομένης K 20 δρυμεῖα καὶ δακτική K 21 βίᾳ om. GL 23 ἢ πυρὶ θάλπουσαν A, om. GL 24 ἀναχαράσσει GL ἀναταράσσει KP τῇ γεύσει ἐπικαίει GL 26 καρδόμῳ ἐμμίξας G 27 ἄνθρακας ῥήσσει A ἄρθρας (vel ἄρθρα) ῥήσει K 29 κινοῦσαν K κινοῦσα A διὰ ταῦτα A διὸ ταῦτα KP χαλεπὴν PA χαλεπὰ K 30 ὁλκὴν A ἀλκὴν KPG = 32 ἢ ἔνοτμον GL

43. ἡ μέντοι μελάνθειος βαρεῖά ἐστιν. ἔστι δὲ καὶ πόα δυναμένη ψυγμὸν ἀπελάσαι, εἴ τις τρίψας τρὶς προσενέγκῃ τῇ ῥινί. 44. τὸ δὲ θεῖον καὶ ἄσφαλτος ἄμφω βαρύοδμα καὶ πνευματικά· διὸ καὶ ἔμμηνα ῥηγνύει καὶ κατάρρους ἵστησι καὶ λέπρας καὶ φακοὺς ἐκλεαίνει. τὸ θεῖον ὀρθόπνοιαν διαλύει καὶ ληθαργικοὺς ὑποθυμιώμενον ἀνίησιν. ἡ δὲ ἄσφαλτος ἐπιληπτικοὺς ἐκταράσσει· πινομένη δὲ ἐν οἴνῳ πυρετοὺς τεταρταίους ἐξελαύνει σφοδρότητι καὶ τραχύτητι τοῦ πνεύματος. οὐ θαυμαστὸν οὖν, εἰ καὶ τοῖς θηρίοις τοιαῦτα ἐνοχλεῖ.

45. Θρήισσαν: ἡ δὲ Θρήισσα λίθος ἐστίν, ἥτις βραχεῖσα τῷ ὕδατι καίεται. ὅτε δὲ εἰς αὐτὴν ἔλαιον βληθῇ, σβέννυται. Ἀριστοτέλης δέ φησι (mirab. auscult. 125) τοῦτον τὸν ποταμὸν τὸν Πόντον ἐν Μηδικῇ καὶ Ἰνδικῇ εἶναι, ἐν ᾧ καὶ ὁ λίθος οὗτος γεννᾶται, οὗ ἡ μὲν ὀσμὴ ἀσφαλτώδης καὶ δριμεῖα, ἡ δὲ φύσις αὐτοῦ σύμπηξιν γεώδη ἀσφάλτου ξηρᾶς πρὸς τὸ λιθῶδες ἔσχε, καὶ διὰ τοῦτο ἐν ὕδατι ἀναφλέγεται μᾶλλον. ἡ γὰρ ἰκμὰς ἰσχὺν τῇ ἀσφάλτῳ προστίθησι καὶ τὸ ξηρὸν αὐτῆς ἐκκαὲς ποιεῖ. 50. μηλοῖς δὲ ἀεργηλοῖς ἢ τοῖς λευκοῖς κατὰ ἔρια ἢ τοῖς ἀργοῖς, ἐπεὶ τῶν ἄλλων ζῴων ἀργότερά ἐστι τὰ θρέμματα καὶ νωθέστερα [μᾶλλον δὲ τὰ πρόβατα]. οὐ γὰρ νωτοφόρα ἐστὶ κατὰ τοὺς ὄνους ἢ ἡμιόνους ἢ βόας. Ἢ τοῖς μὴ ἐργαζομένοις πρὸς σύγκρισιν βοῶν καὶ ἵππων καὶ ὄνων.

52. Χαλβάνη: τὴν χαλβάνην ὁ Διοσκορίδης (III 97) φησὶν ὀπὸν εἶναι νάρθηκος Συριακοῦ, ὁ δὲ Θεόφραστος (hist. plant. VIIII 9, 2) βέλτιον ὀπὸν πανάκους. ἄκνηστις δὲ οἱονεὶ πολύκνηστις, ὥσπερ καὶ τὸ ἄξυλος ὕλη ἡ πολύξυλος. τὴν δὲ ἄκνηστιν οἱ μὲν τὴν κνίδην ἢ ἀκαλήφην, οἱ δὲ τὴν σκίλλαν φασίν. ὁ μὲν Τυραννίων τὴν σκίλλαν, Ἀπολλώνιος δὲ ὁ Μεμφίτης τὸ κνέωρον, ὃ δή τινες κνῆστρον καλοῦσι. τὸ δὲ ἑξῆς ἐν ὑπερβάτῳ· καὶ ἡ ὑπὸ τοῖς πολυοδοῦσι γενείοις τῶν πριόνων τεμνομένη κέδρος, ἀντὶ τοῦ τὸ πρῖσμα τῆς κέδρου, ἀποτρεπτικὴν ὀδμὴν τῶν δακέτων ἐμποιεῖ. οἱ δὲ πλεῖστοι τῶν ἐξηγησαμένων ἁπλῶς τὸ ξύλον τῆς κέδρου, διὸ καὶ τὰ ἑρπετὰ ψυχρὰ ὄντα οὐ φέρει ἡ κέδρος καὶ τὸ ξηραντικὸν ἔχει· διὸ καὶ τοὺς νεκροὺς ἀσήπτους ποιεῖ τὸ νοτερὸν καὶ ῥευστικὸν ἐκπιοῦσα, ὅθεν καὶ νεκρῶν

γμὸν

1 μελάνθειος G μελάνθιος A μελάνθος P μελάνθη K 2 ψυσμὸν K 4 λεπροὺς KPG, correxit I. G. Schneiderus φακοὺς L φαλακροὺς KPG 7 τραχύτητι P ταχύτητι KA 13 γαιώδη K 16 μήλοις δὲ καὶ ἀεργηλοῖς ἢ τοῖς ἀργοῖς K ἀεργηλοῖσιν ἢ τοῖς λευκοῖς κατὰ ἔρια ἢ τοῖς ἀργοῖς G 18 νωθρέστερα K νωθρότερα A μᾶλλον δὲ τὰ πρόβατα om. PGL 23 πανάκους om. KA, addidi ex Theophr. l. c. conl. VIIII 7, 2; 1, 2 24 κνίδην (-αν K) οἱ δὲ τὴν σκίλλαν φασὶν ἢ ἀκαλήφην KPGL, correxit Bodaeus a Stapel in Theophr. hist. plant. VII 7. cf. schol. v. 880 25 σκίλαν K 26 κνέωρον Bodaeus l. c. κένωρον KgL κένορον A κνῆστρον Bodaeus l. c. κνήστραν L μνήστραν K κενήτερην P 27 ἡ G, om. KA 28 τεμνομένη A τεμνόμενος K 29 τῶν δακέτων A τῶν δακέντων δρακόντων K 30 τὸ ἁπλῶς ξύλον KA καὶ γὰρ τὰ ἑρπετὰ ψυχρὰ ὄντα τὴν κέδρον διὰ τὸ ξηραντικὸν φεύγει G 31 οὐ φέρει τὴν κέδρον P 32 ἐκπιοῦσα G ἐμποιοῦσα KP ἐξωθοῦσα A καὶ νεκρῶν ζωὴν A ἐκ νεκρῶν ζῶον, ut videtur, K

ζωὴν ἔνιοι αὐτὴν ἐκάλεσαν. οἱ δὲ ὄφεις δέονται τῶν χαλώντων. 53. τὸ δὲ καταψηχθεῖσα ἀντὶ τοῦ διαιρεθεῖσά ἐστι. ψώχειν γὰρ καὶ ψήχειν ἐστὶ τὸ διαιρεῖν. ἢ καταπνηθεῖσα, οἷον καταπρισθεῖσα. χηραμὰ δὲ τὰ κοιλώματα παρὰ τὸ χεῖσθαι καὶ χαίρειν ἐν αὐτοῖς.

57. εἰ δὲ τὰ μὲν καματοῦ ἐπιδεύεται: ὁ κόπος. εἰ δὲ κόπος ἐστὶν εὑρεῖν τὰς βοτάνας ταύτας. 59. πολυρραγέος δὲ τοῦ πολλὰς ῥεύσεις ἔχοντος ἢ τοῦ βιαίου καὶ πάντα ῥήσσοντος διὰ τὸ ῥαγδαῖον. 60. ὑδρηλὴν δὲ εἶπεν, ἐπειδή ἐστι καὶ ὀρεινὴ πόα. διαστέλλει δὲ τὸ εἶδος. τινὲς δὲ ἀγρίαν γλήχωνα αὐτὴν καλοῦσι. πάντα δὲ τὰ εἰρημένα βαρύοδμα καὶ θερμὰ καὶ θεραπεύει. ἡ δὲ καλάμινθος ἐν ὄρρῳ γάλακτος πινομένη ἐλεφαντίασιν καὶ χοιράδας καταπλαττομένη ἰᾶται. μετὰ οἴνου δοθεῖσα ἕκτερον παύει.

60. χαιτήεσσαν: εἰ μὲν διὰ τοῦ χ. τὴν δασεῖαν καὶ κομῶσαν τοῖς φύλλοις· κόμη γὰρ τῶν βοτανῶν τὰ φύλλα, ὡς αἱ τρίχες τῶν ἀνθρώπων. εἰ δὲ διὰ τοῦ κ, τὴν μεγάλην καὶ ὑψηλήν, ὡς κῆτος, οἷον κητώεσσαν οὖσαν.

62. ἀγραύλοισιν: ἤτοι τοῖς λαμπροῖς κατὰ μετάθεσιν τῶν στοιχείων, οἷον ἀγλαύροις, τοῖς καλοῖς· ἢ καὶ τοῖς ἀγλαὰς αὔρας ἔχουσιν· ἢ τοῖς διαλελυμένοις καὶ τρυφεροῖς. 63. λύγος δέ ἐστιν εἶδος φυτοῦ ἔχον κλάδους πέντε.

64. ἢ πολιὸν βαρύοδμον: καὶ γὰρ τὸ πολιόν ἐστιν εἶδος βοτάνης. τονοῦται δὲ καὶ πόλιον καὶ πολιόν. ἄμεινον δὲ τὸ πόλιον, ἵνα μὴ ᾖ ὡς ἐπίθετον. οὐκ ἔστι δὲ ἡ λιβανωτίς, ἀλλ' ἔχει πέτηλον μὲν θύμου μαλακώτερον καὶ δασύτερον, μέγεθος δὲ οἷον ῥάβδους ἀπὸ ῥίζης πολλὰς ἀναδίδωσιν, ἡ δὲ ῥίζα ξυλώδης. πάντα δὲ ταῦτα βαρύοδμα. 65. ἐχίειον δέ· τὸ ἐχίειον ὅμοιον τῷ πολίῳ τὴν χροιάν ἐστιν, ἀφομοιοῦται δὲ πρὸς τὸν ἔχιν. τινὲς δὲ λέγουσιν αὐτὸ φύλλα ἔχειν ὅμοια ἔχιος κεφαλῇ, διὸ οὕτως ὠνομάσθη. δύο δὲ ταύτης γένη, τὸ μὲν ὤκιμον, τὸ δὲ ἐχίειον, ὅπερ τραχύτερόν ἐστιν.

65. ὀριγανόεσσά τε: τὸ δὲ ὀριγάνου γάλα μετὰ οἴνου πινόμενον ἀδήκτους φυλάττει τοὺς πίνοντας.

66. ἁβροτόνοιο: καὶ τῆς ἁβροτόνου δὲ δύο εἰσὶ τὰ γένη, τὸ μὲν κηπεύσιμον, τὸ δὲ ὀρεινὸν ἐν αργεννόεσσι τόποις εὑρισκόμενον,

---

3 καταπρισθεῖσα A καταπρησθεῖσα K 4 καὶ χωρεῖν A 5 ὁ σκόπος· εἰ δὲ σκόπος K καὶ κόπος GP 8 πόα G πόλις K καλάμινθος A 9 γλίχωνα K 11 καταπλαττομένη A καταπληττομέν K 14 τῶν βοτανῶν G τῆς βοτάνης K 16 κητώεσσαν A κητάεσσαν K. cf. Hesych. κητώεσσα 17 ἀγλαύροις τοῖς λαμπροῖς — οἷον ἀγραύλοις G 18 οἷον ἀγραύλοις KP 20 ἔχον φύλλα πέντε voluit Bodaeus in Theophr. hist. plant. III 17 22 τονοῦται G τοιοῦτ K τοιοῦτον P καὶ πολίον καὶ πολιόν P 23 μή L, om. KA δὲ ἀλιβανῶτις K 25 πολλὰς PG πολλοὺς K σπιθαμιαίους vel παλαμιαίους coniecit Bussemakerus conl. Dioscor. III 114 Spr. et Plin. N. H. XXI 7, 21. 28 φύειν ἔχεις ὅμοιας K ἔχειν φύλλα ὅμοια A 28 ταύτης A ταῦτα K 29 τραχύτερον G et Dioscorides IV 27 πλατύτερον KP 30 τὸ δ' ὀριγάνου γάλα μετ' οἴνου πινόμενον P τὸ δὲ ὀρίγανον γάλα κατα . . . . γινόμενον K lacuna relicta, ὀρίγανον μετ' οἴνου γάλα κατασπᾷ πινόμενον καὶ G 33 ἀργιλώδεσι coniecit Nauckius

διὸ εἶπεν ἀργεννὴν ὑπὸ βῆσσαν. τοῦτο δὲ προὔκρινε τοῦ κηπευσίμου ὡς πρακτικώτερον. Ἁβρότονον οὖν τὸ φύλλον τῆς ἀγρίας βοτάνης φησίν. ἔστι δὲ δύο γένη αὐτῆς, ἥμερον καὶ ἄγριον. ἁβρότονον δὲ ὠνόμασται διὰ τὸ πρὸς τὴν ἅψιν ἁβρὸν καὶ ἁπαλὸν φαίνεσθαι. Ἄλλως τε καὶ διὰ τὸ δύσπνουν εἶναι.

67. ἢ ἕρπύλλοιο: ἕρπυλλος εἴρηται παρὰ τὸ ἕρπειν αὐτοῦ τὰς ῥίζας πιπολύ· διὰ τοῦτο καὶ νομαῖον, διότι ἐπιπολὺ νέμεται. δύο δὲ αὐτοῦ εἴδη· ὁ μέν ἐστιν ἥμερος, ὁ δὲ ἄγριος. ἔστι δὲ καὶ ὤκιμον μεταβάλλον ἐξαμελούμενον εἰς τὸν ἕρπυλλον. ἔστι δὲ πολύχυτον, πνευματῶδες. τῷ δὲ πνεῖν τρέπει τὰ θηρία. Ἢ νομαῖον εἴρηται, διότι πανταχόσε βάλλει ἑαυτοῦ τοὺς κλάδους, καὶ τὸ ἐπίθετον ὁμοφωνεῖ τῷ κυρίῳ. ἕρπυλλος γὰρ καλεῖται παρὰ τὸ ἕρπειν. [ἔνθεν καὶ νομαῖον παρὰ τὸ νομήν. φιλόξωος δὲ ὁ ἕρπυλλος G] ὡς κισσὸς δὲ ἀνθεῖ περὶ τὰ ἄλλα ἄνθη ἑλισσόμενος καὶ περιβοσκόμενος.

70. Κονύζης: κόνυζα εἶδος βοτάνης. καταψυκτικὴ δὲ αὕτη πρὸς συνουσίαν· διὸ καὶ ἐν τοῖς Θεσμοφορίοις ἐστρώννυτο. χαμαιζήλοιο δὲ τῆς χαμαιπετοῦς. δύο δέ εἰσι καὶ αὐτῆς γένη, ἡ μὲν ἀγρία, ἡ δὲ ἥμερος. ἀλλ' ἡ ἀγρία δριμυτέρα ἐστὶ τῆς ἡμέρου κονύζης. 71. τὸ δὲ ἄγνου βρύα λευκὰ πρὸς ἀντιδιαστολὴν τέθεικεν, ἐπεὶ ἔστι καὶ μέλας ἄγνος. πολυανθὴς δέ ἐστιν ὁ λύγος τοῦ ἄγνου, ὃν ἐν τοῖς Θεσμοφορίοις ὑπεστρώννυντο αἱ γυναῖκες. ἀντιπράττει γὰρ πρὸς συνουσίαν· διὸ καὶ ἄγνος λέγεται, ἁγονός τις ὤν. Βρύα δὲ τὰ ἄνθη· καὶ Ὅμηρος (Il. *P* 56)

.καί τε βρύει ἄνθεϊ λευκῷ.

λευκὰ δὲ πρὸς ἀντιδιαστολὴν τῶν μελάνων. Τὸ δὲ σπέρμα τοῦ ἄγνου καὶ πινόμενον ἀπαλλάττει τῶν πυρετῶν καὶ ποιεῖ ἱδρῶτας, ὑδρωπικοῖς τε καὶ σπληνικοῖς βοηθεῖ εἰς κύστιν ἐκκαθαιρομένων τῶν ὑγρῶν. ὁμοίως δὲ καὶ τὸ πόλιον βοηθεῖ ἰκτερικοῖς, πολέμιον δέ ἐστι ταῖς κυούσαις γυναιξίν· ἐκβάλλει γὰρ τὰ ἔμβρυα. ὁ δὲ ὀνόγυρός ἐστιν εἶδος βοτάνης. [καὶ ὀνόγυρος δὲ εἶδος θάμνου. καλοῦσι δὲ αὐτὸν οἱ μὲν ἀνάγυρον, οἱ δὲ ὀνόγυρον, οἱ δὲ ἄκυπον, οἱ δὲ ἀγνάκορον, οἱ δὲ ὀζόγυρον G] ἐμπρίοντα δὲ τὸν ἀκανθώδη καὶ τραχὺν εἶπεν· πριονώδη γάρ ἐστι τὰ αὐτοῦ φύλλα. 73. μόσχον δὲ τὸν κλάδον φησί. γράφεται δὲ καὶ πολυαυχέα καὶ πολυανθέα. 74. τὰ δὲ σκύρα ὄρεξιν τῶν ἀφροδισίων παρέχει τοῖς βουσίν. ὡς οὖν τῶν βουκόλων ἐπεχόντων τὰς βοῦς καὶ κοπιώντων σκύρα ἐχθρὰ εἴρηται. τὸ δὲ

---

4 ἅψιν A ὄψιν KP 5 διὰ τὸ δυσπνοῦσιν εἶναι χρήσιμον voluit Bernardus conl. Ael. H. A VIIII 33 Plin. N. H XXI 11 Dioscor. III 29. videntur haec pertinere ad 2 πρακτικώτερον 6 ἢ ἑρπύλοιο: ἕρπυλος K 8 εἶναι δὲ καὶ KA εἶναι λέγεται καὶ coniecit Bussemakerus 9 ἕρπυλον K 12 ἕρπυλος K 15 κορύζης: κορύζα K 16 ἐν G, om. KA χαμαιζήλοιο G χαμαιζήλου KA 18 κορύζης K 22 βρυτὰ δὲ K 26 καὶ πινόμενον καὶ χριόμενον ἀπαλλάττει GL 32 ἐμπρύοντα K 33 ἔχει τὰ αὐτοῦ φύλλα KA ἔχει φύλλα G

τάτ' εἴαρι ἀντὶ τοῦ ἄτινα σίνατο καὶ ἔβλαψε τὸν βούτην, ἤγουν τὸν βουκόλον. ἐκτέμνει γὰρ ὑπὲρ τοῦ μὴ γεύεσθαι τὰς βοῦς αὐτῶν. οἱ δὲ τὸ ἐρυθράδιόν φασιν, ἐπεὶ φοινίσσεται τὰ δέρματα τῶν γευομένων ζώων. 75. τὸ δὲ σκυρόωσι ἀντὶ τοῦ ὀργῶσιν ἢ σκιρτῶσιν ἢ ἐκμαίνωνται. τῶν γὰρ σκύρων γευσάμεναι αἱ βόες ἐκκλίνονται, καὶ ταῦτα τοῖς βουσὶ μανίας ἐστὶ παρασκευαστικά. Βούτην, βουκόλον. ταῦτα γὰρ βλάπτουσι τοὺς βουκόλους. οἱ γὰρ βόες τρώγοντες αὐτὰ ὁρμητικοὶ γίνονται πρὸς τὰ ἀφροδίσια καὶ φεύγουσι τὰς ἀγέλας, ὥστε ἀναγκάζονται οἱ βουκόλοι διώκειν. 76. Ἡ δὲ πευκέδανος βοτάνη ἐστὶ πικρά. βαρύνεται δέ, ἵνα μὴ ᾖ ἐπίθετον.

78. ἀγραυλέι κοίτῃ: τῇ ἐν τῷ ἀγρῷ γινομένῃ· ἡ δὲ λέξις ἀγροικική.

79. χελείαις: ταῖς καταδύσεσι, παρὰ τὸ χεῖσθαι ἐν αὐταῖς τοὺς ὄφεις.

81. κεδρίδας: τὸν καρπὸν τῆς κέδρου. ἔχουσι γὰρ αὗται ὑγρότητα ἐλαιώδη. 83. τὸ δὲ λίπει ἔνι ἀντὶ τοῦ ἐν ἐλαίῳ τῷ ἐξ αὐτῶν, ὅπερ ἐστὶ ξηραντικόν. 84. καὶ ἀλθηέντα τὸν πρὸς ὑγείαν λαμβανόμενον, ὅ ἐστι θεραπευτικόν. 85. ὀδόντες δὲ οἱ δοίδυκες καὶ τριβεῖς. ἀντιπτώσει δὲ ἐχρήσατο. ἔδει γὰρ εἰπεῖν κνηστῆρος ὀδόντες.

86. σιάλων: ὅτε γάρ ἐστι νῆστις ὁ ἄνθρωπος, τότε τὸν αὐτοῦ σίελον πόρρω φεύγει ὁ ὄφις.

88. ἐπὶ χλωρηίδα νώτῳ: χλωρὰν ἐπὶ τῷ νώτῳ. ἰστέον δὲ ὅτι τινὲς βοτάνην λέγουσι τὴν κάμπην, τινὲς δὲ τὸ ζωύφιόν φασι. 89. ἀγριάδος δὲ μαλάχης κατὰ συναλοιφὴν τῆς ἀγριομάλαχης, ἣν καὶ ἀλθαίαν καλοῦσι. καὶ ἐγκύμονα ἀθαλλῆ, ἁπαλόν, μήπω ἐξηνθηκότα.

90. ἰαύοις: κοιμήσαιο

91. ψήχεο δ' ἐν στέρνῳ: τὸ δὲ ἐξῆς, ἀνάτριβε δὲ ἐν τῇ κοιλότητι τῆς θυείας.

μυλόεντι: ἢ τῷ λιθίνῳ ἢ τῷ μυλοειδεῖ. 92. ὀράμνους δὲ τοὺς κλάδους. κατὰ συγκοπὴν δὲ εἶπεν, οἷον ὀροδάμνους παρὰ τὸ ὀρούειν.

---

1 ἀντὶ τοῦ ἄτινα σίνατο καὶ ἔβλαψε τὸν βούτην, ἤγουν τὸν βουκόλον. ἢ ὅτι ἐπέχων αὐτὰς κοπιᾷ· ἢ ὅτι ἐκτέμνει ὑπὲρ A ἀντὶ τοῦ ἄτινας (ἄτινα P). ἐκτέμνει γὰρ ὑπὲρ KP 5 ἐκμαίνονται KA 6 ταῖς βουσὶ g 8 ὁρμητικοὶ καὶ ἐπόρεκτοι γίνονται πρὸς τὰ ἀφροδίσια καὶ λοιπὸν ἀναπτεροῦνται καὶ φεύγουσι g 12 ἀγροικικὴ P ἀγροικὴ KA 16 ἐν ἐλαίῳ P: ἐν om. KA 19 κνιστῆρος K κνηστῆρες G κνιστῆρες A 21 σιάλων — 22 ὄφις om. A, post 33 ὀρεύειν habet K, suo loco g, in quo pro σιάλων est πολλάκι καὶ βροτέων τὸν σίαλον αὐτοῦ g 23 χλωριίδα νώτῳ: ἰστέον ὅτι K, ex GL correxit I. G. Schneiderus 26 ἀλθαίαν I. G. Schneiderus conl. Dioscor. III 163 Plin. N. H. XX 21, 84 ἀλωαίαν L ἀλωέαν P ἀλωέα K ἀλωίαν A: cf. Theophr. hist. plant. VIIII 18, 1 ἀθαλλῆ] ἀσφαλῆ KP εὐθαλῆ L κεκλεισμένον A 28 ἰάβοις K 30 τῆς θυείας A, om. KP 31 τῷ λιθίνῳ τῷ GL ἢ τῷ λίθῳ τῷ KP 32 οἷον ὀραδάμνους P 33 ὀρούειν GL ὀρεύειν KP

93. ὀδελοῦ: ἀντὶ τοῦ ὀβελοῦ Δωρικῶς ἢ Αἰολικῶς· καὶ Θεόκριτος (5, 27) [δήλεται τὸ βλάπτεται ἢ] δήλεται τὸ βούλεται. αἴσιος δὲ ὁλκὴ ἀντὶ τοῦ ἴσῃ. ἴσῳ γάρ, φησι, σταθμῷ βαλὼν τρῖβε. διὰ γὰρ τοῦ αἴσιον σημαίνει τὸ καθῆκον καὶ ἰσόσταθμον ποιεῖσθαι.

94. δαύκου: τὸ μέντοι δαύκου καὶ δαύχου γράφεται, ἐπί τινων δὲ καὶ γλυκύ. ἔστι δὲ ῥιζίον παρόμοιον σταφυλίνῳ. Ἀντίγονος δὲ λέγει δαύχμου. ἔστι δὲ δάφνη πικρά. χειροπληθῆ δὲ ὅσον γεμίσαι τὴν χεῖρα. Δαύκου: δύο γένη τῆς βοτάνης, ἡ μὲν Κρητική, ἡ δὲ Ἀσιατική. Πλούταρχος πλείονα μέν φησι γένη αὐτῆς εἶναι, τὸ δὲ κοινὸν τῆς δυνάμεως ἰδίωμα δριμὺ καὶ πυρῶδες, ὡς καὶ ἡ γεῦσις αἰσθάνεται καὶ ὄσφρησις, καὶ πειρώμενον δῆλον εἶναι. καὶ γὰρ ἔμμηνα κινεῖ σφόδρα καὶ διαλύει στρόφους τῇ θερμότητι καὶ τῶν περὶ τὸν θώρακα σπλάγχνων καθαρτικὸν καὶ προσέτι γε μὴν λεπτυντικὸν ἔχει σθένος.

96. Τέρσαι ὑπὸ σκιόεντι: ξήραινέ φησιν, ἐν σκιῷδει καὶ ἀνεμώδει τόπῳ· μὴ γὰρ ἐν ἡλίῳ, ἵνα μὴ ἡ ὑγρότης αὐτῶν ξηρανθῇ ὑπὸ τοῦ ἡλίου καὶ ἀνενέργητα ποιήσῃς αὐτά.

97. αὖα δ' ἐν ὅλπῃ: σκιόψυκτα δὲ ὄντα καὶ ξηρὰ θρύπτε αὐτὰ ἐν ληκύθῳ, καὶ οὕτως ἀλείφου, ὅτε χρεία καλέσει.

98. εἶγε μέν: δύο ὄφεις συνουσιάζοντας κελεύει λαβόντας ἑψῆσαι. χύτρῳ δὲ τῇ χύτρα. διὰ τί δὲ συνουσιάζοντας; διότι ἐν τῷ καιρῷ τῆς συνουσίας βρωμοῦσιν. ἀποστρέφονται δὲ φύσει τὸν ἑαυτῶν βρῶμον. κνώδαλα δὲ κυρίως μὲν τὰ θαλάσσια παρὰ τὸ κινεῖσθαι ἐν τῇ ἁλί· καταχρηστικῶς δὲ τοὺς ὄφεις λέγει. φησὶ δὲ Ὀππιανὸς κνώδαλα τὰ τῶν θηρίων γένη, ἐξ οὗ καὶ μνείαν ποιεῖται ὁ Νίκανδρος περὶ κνωδάλων καὶ λέγει οἷον αἱμορροΐδας καὶ κεράστας καὶ τριχοφόρους, ἤτοι χοίρους.

102. δραχμάων: τὸ τρίτον μέρος τοῦ δεκάτου τῆς δραχμῆς· τὸ τρίτον δέ ἐστι τῆς δεκάδος τρεῖς καὶ τρίτον. ἢ τριπλάσιον τῆς δεκάδος, τουτέστι τριάκοντα δραχμάς. τρίφατον οὖν ἀντὶ τοῦ τρίλεκτον, οἷον τριπλῆν δεκάδα, τουτέστι τριάκοντα δραχμάς.

103. ὁ μὲν γὰρ χοῦς ιβ κοτύλας ἔχει. τρίτον οὖν τῶν δώδεκά φησιν. Ἓν δὲ τρίτην μοῖραν: ἀντὶ τοῦ δ κοτύλας. ιβ γὰρ κοτυλῶν ἐστιν ὁ χοῦς, τοῦ δὲ ιβ τὸ τρίτον δ. ἢ καὶ οὕτως, τῶν τριῶν ὄντων τῶν ῥοδίνων τῷ πρώτῳ καὶ τῷ δευτέρῳ ὡς ἐξόχοις φησὶ χρῆ-

---

1 Θεόκριτος δήλεται τὸ βάλεται (rell. om.) G 3 ὠλκὴ K 4 τοῦ αἴσιον A τὸ αἴσιον K 5 δαύκου διχῶς δαύχμου γράφεται γλύκου I. G. Schneiderus ex GL: γλυκύ KPA 7 δαύχμου KG δαύχου P χειροπλήθη G χειροπληθὲς KA 10 καὶ ὡς KA: καὶ om. G 12 τῶν περὶ τὸν θώρακα καὶ σπλάγχνα παθῶν καθαρτικὴν καὶ λεπτυντικὴν ἔχει δύναμιν G 13 σπλάχνων K 15 ξήρανε K καὶ ἐν ἀνεμώδει K 16 μὴ ὑγρότης K 17 ἀνέργητα ποιήσῃ αὐτά PG ἀνέργητον ποιήσῃς αὐτό K 18 σκιόψικτα K 22 τὴν ἑαυτῶν βρῶμον K 27 ἤτοι χοίρους AP, om. K 29 τὸ τρίτον δὲ τοῦ δεκάτου τριάκοστόν ἐστι τοῦ ὅλου. ἢ A τῆς δεκάδος τρὶς τρίτον KP 32 χοῦς om. K: ὁ χοῦς γὰρ A τρίτον οὖν τῶν δώδεκα τέσσαρες κοτύλαι G 35 τὸ πρῶτον καὶ τὸ δεύτερον ὡς ἐξόχως K τὸ α καὶ τὸ β ὡς ἐξόχοις P

σθαι. τρεῖς γὰρ ἀποστάσεις ποιεῖ τὸ ῥόδον, πρώτην, μέσην καὶ τελευταίαν· ἀντὶ τοῦ ἐν τρισὶν ἀγγείοις βάλλουσιν ἔλαιον· καὶ ἐν τῷ ἑνὶ ἐξ αὐτῶν βάλλουσι τὸ ῥόδον καὶ ποιοῦσι τὴν πρώτην ἀπόστασιν τὴν ἐνεργεστέραν· καὶ ὅταν ἀποβραχῇ ἐν τῷ πρώτῳ ἀγγείῳ καὶ ποιήσῃ τὴν πρώτην ἀπόστασιν, αἴρουσιν αὐτὸ καὶ μεταβάλλουσιν ἐν τῷ δευτέρῳ ἀγγείῳ, καὶ ὅταν βραχὲν ποιήσῃ τὴν δευτέραν ἀπόστασιν, μεταβάλλουσιν αὐτὸ ἐν τῷ τρίτῳ ἀγγείῳ· καὶ οὕτω τρεῖς ἀποστάσεις ποιεῖ.

104. *Πολύτριπτον*: ἐπεὶ πολλὰ εἴδη ῥοδίνου, καὶ τὸ μὲν πρῶτον, τὸ δὲ μέσον, τὸ δὲ μικτὸν καλοῦσιν, ὅπερ πολύτριπτον εἶπε. τὸ μικτὸν δὲ τὸ ἔξοχον.

105. *Ἰσόμορον*: ἰσόμορον γὰρ λέγει τὸ ἴσον τοῦ ὀμφακίνου ἐλαίου, ἀντὶ τοῦ πάλιν δ κοτύλας. ἀργῆτος δὲ τοῦ λευκοῦ ἢ λαμπροῦ ἢ καθαροῦ, ἐξ ὠμῆς ἐλαίας γεγονότος. 106. ἐν δὲ τῷ *τετράμορον* λείπει ὁ καὶ σύνδεσμος, ἵν' ᾖ καὶ τετράμοιρον κηροῦ, ἀντὶ τοῦ μίαν κοτύλην κηροῦ. τῶν γὰρ δ τὸ τέταρτον ἡ μία ἐστίν. 109. *λάκτις* δὲ ὁ λεγόμενος παρὰ Ἀττικοῖς ἀλετρίβανος. λέγει δὲ νῦν τὴν τορύνην, τὸ κίνητρον. 107. ἄκανθα δὲ κυρίως μὲν ἡ σπεῖρα τοῦ δράκοντος, νῦν δὲ λέγει τὸν δράκοντα. ἄφελε γοῦν, φησι, καὶ ἀποχώρισον τὰς φολίδας καὶ τὰ λεπάσματα· ἀπὸ κοινοῦ δὲ τὸ *λίπαξε*, ἀντὶ τοῦ χρῖσον.

114. *Θρίναξι*: γεωργικόν τι σκεῦός ἐστιν ἔχον τρεῖς ἐξοχὰς καὶ σκόλοπας ἀπωξυμμένους ᾧ τοὺς στάχυας τρίβουσι καὶ λικμῶσι καὶ ἀπαχυρίζουσι. 115. *δακέεσσι* δὲ τοῖς θηρίοις, νῦν δὲ ταῖς ἀσπίσιν. ἔτι δέ, λέγει, εἰ μὴ ἠλειμμένος τῷ φαρμάκῳ ταῖς ἀσπίσιν ἐπιτύχῃς, ταχέως ἂν ταῖς ἡμετέραις προστάξεσιν ὑποχωρήσαις καὶ ἐκφύγοις ἂν τὰ δήγματα καὶ τὸν θάνατον τὸν ἐξ αὐτῶν.

118. *τῶν ἤτοι θήλεια*: περὶ τῆς ἀσπίδος λέγει, ἥ ἐστι διψάς. τῆς γὰρ θηλείας τὸ στόμα μεῖζον καὶ πλατυτέρα ἡ κεφαλή. τὸ δὲ *παλίγκοτος* οἷον ὀργίλη ἐστὶ τοῖς ἀπαντῶσι, τῷ τε δήγματι πλειοτέρα καὶ κατὰ τὴν ἑλκομένην σειρήν, ἤγουν οὐράν. 119. *δάγμα* δὲ διὰ τοῦ α ὁ Νίκανδρος πανταχοῦ, καὶ οὐ διὰ τοῦ η. καὶ τὸ *πλειοτέρη* ἀντὶ τοῦ μεῖζων τῷ στόματι. στικτέον γὰρ εἰς τὸ ἀντομένοισι. ἀπὸ κοινοῦ δὲ τὸ πλειοτέρη καὶ πάλιν· καὶ τῷ δήγματι γὰρ πλειοτέρη καὶ κατὰ τὴν ὁλκήν, καὶ κατὰ τὴν οὐράν, πλειοτέρη. ὁλκὸν δὲ τὸ σῶμα· ἢ τὴν οὐράν, καὶ σειρὴν τὴν πορείαν. βούλεται

---

1 ἀποστάξεις coniecit Bussemakerus 4 καὶ ὅτε ποιήσῃ K 11 τὸ μικτὸν δὴ ἢ τὸ GL τὸ μικτὸν ἢ τὸ K τὸ μικρὸν δὲ ἢ τὸ P 12 ἰσόμοιρον· ἰσόμοιρον λέγει P 13 ἀντὶ τοῦ A αὐτοῦ K λευκοῦ καὶ λαμπροῦ G 15 τοῦ .... κοτύλην K 17 ὁ λεγόμενος G ἡ λεγομένη KA , τορύνην GL τορύνην K 20 λεπίσματα A 23 ἀπωξυμμένους L ἐπωξυμμένους G ἀπεξυσμένους P ἀπεξυμένας K καὶ λικμῶσι καὶ ἀπαχυρίζουσι LP, om. KA 24 νῦν δὲ ταῖς ἀσπίσιν A, om. K 25 εἰλημμένος PK 26 ταχέως A τυχαίως K 31 δάγμα KPL δάχμα G 34 κατὰ κοινοῦ δὲ τὸ πλειοτέρη καὶ τῷ δήγματι πλειοτέρη G δὲ] καὶ K καὶ τῷ] κάτω KP 36 ὁλκὴν δὲ τὸ σῶμα κατὰ τὴν οὐρὰν P

γὰρ σημᾶναι ὅτι τὸ ἄκρον τῆς οὐρᾶς αὐτῆς παχύ ἐστιν. 120. τὸ δὲ τούνεκα ἢ ὅτι τῷ στόματι μείζων, ἢ ὅτι ὀργίλη ἐστὶ τῷ δήγματι.

121. ἀλλ' ἤτοι θέρεος: οἷον ἀρχομένου τοῦ θέρους πικρότατά εἰσι τὰ ἑρπετά. τὸ δὲ ἐξαλέασθαι ἀπαρέμφατόν ἐστιν ἀντὶ προστακτικοῦ, ἤτοι ἀντὶ τοῦ ἐξάλυξον καὶ ἔκφυγε.

123. ὁλκαίην ψαίρουσαι: αἵτινες ὑπὸ τὴν οὐρὰν τοῦ ταύρου ἐγγίζουσαι καὶ ἁπτόμεναι ἢ ψαίρουσαι ἀντὶ τοῦ κινούμεναι, μικρόταται ἐπιφέρονται. λέγει δὲ ἐν ταῖς ἐπιτολαῖς τῶν Πλειάδων. τότε οὖν, φησι, ἔκφυγε τὸ δῆγμα. ὁλκαίην δὲ τὴν οὐρὰν λέγει παρὰ τὸ ἕλκεσθαι ὑπὸ τοῦ ὅλου σώματος. γράφεται καὶ ἀλκαίην καταχρηστικῶς· κυρίως γὰρ ἡ τοῦ λέοντος οὐρὰ ἀλκαία καλεῖται, ὅτι δι' αὐτῆς ἑαυτὸν ἐποτρύνει καὶ ἐγείρει εἰς ἀλκήν· (Hom. Il. Υ 171)

αἰεὶ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.

Ἄρατος (phaen. 517) μὲν ἡμιτελῆ φησιν εἶναι τὸν ταῦρον, οὗτος δ' ὁλόκληρον. ὁλκὴ γὰρ ἡ οὐρά.

125. γωλεά: αἱ καταδύσεις αἱ ἐν τοῖς κοίλοις τόποις γινόμεναι οὕτω καλοῦνται.

126. λίπτησιν: ἢ ὅτε ἐπιθυμίαν σχοίη νομοῦ, τουτέστι βοσκῆς, ἢ ὁπότε βοσκῆς κεκορεσμένη ἐπὶ τὸ κοιμηθῆναι πορεύηται.

[127. μὴ σύγ' ἐνὶ τριόδοισι τύχοις: κατὰ κοινοῦ.]

128. ὅτε δῆγμα πεφυζώς: ὅτε τὸ δῆγμα τῆς θηλείας φεύγων εἰς φυγὴν τράπῃ ἐν τῇ συνουσίᾳ. τότε γὰρ ἀναιρεῖ τὸν ἔχιν ἡ διψάς.

129. περκνός: τοιοῦτος γὰρ ὁ ἄρρην. καὶ τὸ θύῃσι ἀντὶ τοῦ ὁρμᾷ, ἤτοι φεύγει καὶ ἐκκλίνει τὴν τυπὴν καὶ τὴν τύψιν τῆς ἐχίδνης. Ἄλλως. ψολόεντος: τοῦ πυρώδους καὶ τεφρώδους. μετάληψις δὲ τὸ σχῆμα ἀντὶ τοῦ ψολοέσσης ἐχίδνης. δῆγμα δὲ καὶ τυπὴν ἐκ παραλλήλου τὸ αὐτό.

130. Ἡνίκα θορνυμένου: τὸ δὲ θορνυμένου ἀντὶ τοῦ συνουσιαζομένου καὶ μιγνυμένου. θαλερῷ δὲ τῷ σπορίμῳ· στόματι γὰρ συνέχονται αἱ ἔχιδναι· ἢ τῷ ὀλεθρίῳ. 131. θουρὰς δὲ λέγεται ἡ ὑρμητικὴ πρὸς συνουσίαν.

131. ὀδάξ: ἤτοι δηγματικῶς καὶ τμητικῶς συμπλακεῖσα τῷ ἄρρενι. γράφεται δὲ καὶ ἀμύξ ἀντὶ τοῦ οὐ μυκτικῶς ἤτοι κατεξεταστικῶς ἐμφῦσα. οὕτως γὰρ συνουσιάζονται οἱ ἔχεις ταῖς ἐχίδναις, καὶ μετὰ τὸ συνουσιάσαι ἀναιρεῖ τὸν ἄρρενα ἡ θήλεια, τὴν κεφαλὴν

---

1 αὐτῆς A καὶ τῆς K τὸ δὲ τοὔνεκα A τότε. τούνεκα K 2 ὅτι ἐπειδὴ τῷ στόματι KA 5 ἤτοι A ἔτι K 7 μικρόταται ἐπιφέρονται L μικρότατα ἐπιφέρουσαι P πικρότατα ἐπιφέρονται K 10 καὶ ἀλκαίη I. G. Schneiderus ex L, ut videtur, καὶ ὁλκαίη K 11 ἀλκαία P ὁλκαία KA 18 ἤτοι ἐπιθυμίαν σχοίη K ἤτοι ὅταν ἐπιθυμίαν σχοίη A σχῇ Bussemakerus 19 πορεύεται P 20 μὴ – κοινοῦ, suo loco repetita sunt infra ad v. 137 21 ὅτε δῆγμα πεφυζώς G, om. KP φεύγων G φύγῃς KP 22 ἔχιν G ὄφιν KP 24 ἐχίδνης om. K: τῆς τεφρώδους ἐχίδνης A 29 θολερῷ A: θολερῷ δὲ οἱ μὲν τῷ μέλανι οἱ δὲ τῷ σπορίμῳ GL 32 ἤγουν δακτικῶς G 33 ἀντὶ τοῦ ἀμυκτικῶς καὶ καταξεστικῶς GL ἀντὶ τοῦ οὐ μυκτικῶς καὶ καταξυστικῶς A 34 γὰρ om. K

ὑποκόπτουσα. τὰ δὲ ἔμβρυα πάλιν τικτόμενα τὴν γαστέρα τρώξαντα τῆς μητρὸς οὕτως ἐξέρχονται θανατοῦντα αὐτήν, ὡσανεὶ τοῦ πατρὸς ἐκδικοῦντα τὸν θάνατον. 132. *μετεκίαθον δὲ ἀντὶ τοῦ μετῆλθον, ἦγουν τὴν λώβην τοῦ ἰδίου πατρὸς ἐξεδίκησαν· ἀνταμύνουσι γὰρ τῷ πατρί.* 134. *ἀναβρώσαντες: ῥηγνύντες.*

135. *οἴη γάρ βαρύθει: μόνη γὰρ βαρύνεται ὑπὸ τῷ κύματι τῆς γαστρός, ἐπειδὴ μόνη ἐγκύμων γίνεται, οἱ δὲ ἄλλοι πάντες ὄφεις ᾠοτοκοῦσι.* 137. *ῥικνῆεν δὲ τὸ διερρωγός, τὸ παλαιόν· ἢ τὸ ῥυσσὸν ἢ τὸ τρομερόν. ἀπὸ κοινοῦ δὲ τὸ μὴ σύγ' ἐνὶ τριόδοισι τύχοις.*

139. *ὁπότε σκαρθμούς: ἤγουν τὰς διατριβάς, τοὺς τόπους, τὰ ἴχνη ἢ τὰς κινήσεις καὶ διώξεις. ἢ σκαρθμὸς ὁ διὰ τῶν ῥωθώνων ἀποσπασμὸς τῶν θηρίων· αὗται γὰρ ἀποσπῶνται τοῖς μυκτῆρσι τοὺς ὄφεις ἐκ τῶν καταδύσεων. ὁ δὲ λόγος, καὶ ὁπότε τὸν ἐξελκυσμὸν τὸν διὰ τῶν μυκτήρων ἐκκλίνας ὁ ὄφις καὶ φυγὼν καὶ πλήρης ὢν χολῆς ἐνερείσει καὶ προσπελάσει τὸ στόμα ἀνθρώπῳ τινί, διαφθείρει. τοῦτο γὰρ ἐξακούεται.*

141. *κινωπηστῇς: ἁπλῶς τοῖς ὄφεσι καὶ κοινῶς τοῖς ἑρπετοῖς. ὀργίζονται δὲ αὐτοῖς οἱ νεβροτόκοι καὶ ζόρκες, τουτέστιν αὐτοὶ οἱ ἔλαφοι καὶ αἱ ζορκάδες.* 143. *τρόχμαλα δὲ τοὺς τραχεῖς τόπους καὶ πετρώδεις, ἢ τὰς τρίβους. καὶ τὰ ἴχνη, ἢ τὰ εἰκαῖα τῶν ἀγρῶν τειχία. καὶ τὸ ἐρέοντες ἀντὶ τοῦ ζητοῦντες, διώκοντες καὶ ἰχνοσκοποῦντες τοῖς μυκτῆρσι τὰς καταδύσεις.*

145. *Ὄθρυς: ὄνομα ὄρους Θεσσαλίας, ὅπου ὁ σὴψ νέμεται· πλεονάζει γὰρ ἐκεῖ τὸ θηρίον τοῦτο.* 147. *δίψιος δὲ ὁ ξηρὸς διὰ τὸ μὴ παρ' ὑδατώδεσι τόποις φαίνεσθαι, ἀλλ' ἐν ὀρεινοῖς. ἢ ὁ ποιῶν δίψαν τοῖς δακνομένοις.*

146. *φοινὰ δάκη: ἤγουν φονευτικὰ θηρία.*

καὶ τρηχέες ἀγμοί: οἱ τραχεῖς καὶ πετρώδεις τόποι παρὰ τὸ κατάγνυσθαι. 147. *καὶ λέπας ἀκρωτήριον.*

148. *ἀλλόφατον λέγεται, ὅτι μεταβάλλεται εἰς χρώματα πολλά, καὶ πρὸς ὁντινα ἐγγίσῃ τόπον, τούτῳ ἴσον αὐτοῦ τὸ χρῶμα μεταβάλλεται. τὸ δὲ οἰαδόν ἐπιρρηματικῶς εἴρηται. γίνεται γὰρ ἐκ τοῦ οἷος καὶ οἰαδόν ἐπίρρημα.*

149. *χηραμά: τὰς καταδύσεις.*

150. *λίθακας τοὺς τραχεῖς τόπους. ἕρμακας δὲ τοὺς ἑρμαίους καὶ λιθώδεις τόπους. ἢ ἕρμακας λίθους σεσωρευμένους εἰς τιμὴν τοῦ Ἑρμοῦ.* 151. *τρηχεῖς δὲ οἱ ὀρεινοί. πικρότατοι γάρ εἰσι διὰ τὸ*

---

2 θανατοῦντες K 3 μετεκίαθον] μετοικίσθην P 6 βαρύθει P βαρυθεῖσα K κυήματι Gl. 12 ἐπισπῶνται Gl. 17 κινωπηστῇς Gl. κινωπιστῇς KP κινωπιστῇς δὲ κοινῶς μὲν πᾶσι τοῖς ἑρπετοῖς ἰδίως δὲ νῦν τοῖς ὄφεσιν A 18 αὐτοῖς om. K, add. A 19 αἱ δορκάδες A 22 τὰς om. K 25 ἐν om. KA, add. P 27 τὰ φοινικὰ θηρία A 30 ἀλλόφατον A ἀλλόφαντον K 31 πρὸς om. K, add. A ἴσον αὐτοῦ τοῦ τόπου τὸ χρῶμα KP ἴσον τὸ χρῶμα αὐτοῦ τῷ τόπῳ A 32 γίνεται γὰρ ἐκ τοῦ οἷος ὁ μόνος, οἰαδόν. ὥσπερ ἐκ τοῦ μόνος μοναδόν A 34 χηραμά KP χειραμά A

Digitized by Google

πυρῶδες τοῦ δήγματος. καὶ ἔμπυροι οἱ χαλεπώτατοι καὶ φλέγοντες τοῖς ἀλγήμασι τοὺς πληγέντας.

[152. μεταμώνιον: οὐ μάταιον, ἀλλὰ δεινόν, ἐπικίνδυνον G.]

153. ἄλλος δ' αὖ κόχλοισι: τοῖς κόχλοις τῆς γῆς τὴν δομήν, ἤγουν τὸ σῶμα, ἀφομοιοῦνται. τῆς γῆς δὲ εἶπεν, ἐπεὶ καὶ θαλάσσιοί εἰσιν.

154. γράφεται ἔν τισιν φολίς, ἀπὸ τῶν ἰχθύων μεταφορικῶς. ὁ δὲ λόγος, ἄλλου δὲ ὄφεως ἐγχλωρίζουσα ἡ λεπὶς τὴν ἐπὶ μῆκος τεινομένην σπεῖραν ποικίλην ποιεῖ. 156. τὸ δὲ σπείρῃ λεπτύνονται ἀντὶ τοῦ ἢ τραχύνονται ἢ λευκαίνονται· ἀφ' οὗ καὶ ἡ ἐν τοῖς σώμασι παρὰ φύσιν λευκότης καλεῖται λέπρα. ὁ δὲ λόγος, πολλοὶ δὲ ἐνδιατρίβοντες ἐν τῇ ἄμμῳ ὑπολευκαίνονται τὴν σπεῖραν, ἀλινδόμενοι καὶ κυλιόμενοι ταῖς ἄμμοις. ἄμαθος δὲ ἡ χερσαία κόνις. Ὅμηρος δὲ (Il. *I* 385) διαστέλλει,

οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε.

ἀπὸ δὲ τούτου ποιεῖται τὴν τῶν ζῴων ἐξαρίθμησιν καὶ τὰ ἰδιώματα τῶν πληγῶν καὶ τὰ συμβαίνοντα πάθη τοῖς ὑπὸ τῶν ἑρπετῶν πληγεῖσιν, ἀρξάμενος ἀπὸ τῆς ἀσπίδος.

157. φράζεο δ' αὐαλέαις: τὴν φρίσσουσαν ταῖς καταξήροις φολίσι φονευτικὴν ἀσπίδα, τὸ χαλεπώτατον τῶν ἄλλων θηρίων, σκέπτου. 158. τὸ δὲ ἀμυδρόν ὁτὲ μὲν ἀσθενές, ὁτὲ δὲ καὶ εὐκίνητον καὶ χαλεπόν. Δημήτριος δὲ φησιν εἰρῆσθαι ἀμυδρότατον δάκος τὴν ἀσπίδα, καθ' ὅσον οὐκ ἄγριόν ἐστι καὶ ὀξὺ τὸ ζῷον, ἀλλὰ μόνον τῇ φύσει χαλεπόν. δύναται δὲ κατ' ἀμφότερα λέγεσθαι, χαλεπὸν μὲν διὰ τὸ ἀνίατον, ἀμυδρὸν δὲ διὰ τὸ νῶκαρ, ὃ καὶ χωρὶς ἀλγημάτων ἀναιρεῖ. Ἄλλως. ἀμυδρόν νῦν τὸ χαλεπὸν λέγεται, ὡς καὶ Ἀρχίλοχος

ἀμυδρὰν χοιράδ' ἐξαλεύμενος

ἔστι δὲ καὶ ὅτε εὐκίνητον, ὡς ἐπὶ τῆς ἴκτιδος (Ther. 196) ἀντὶ τοῦ εὐκινήτου. καὶ ὁ αὐτὸς (Ther. 358) ἐπὶ τοῦ χαλεποῦ

καί τε τυπῇσιν ἀμυδροτέρῃσιν ἰάπτει.

Ἄλλως ἀμυδρότατον ἀσθενέστατον, παρόσον ἀσθενοποιός ἐστιν ἡ πληγή.

159. Κέλευθος ὁμῶς: κατεναντίον τῷ κεράστῃ. ὁ μὲν γὰρ πλαγίως βαδίζει, ἡ δὲ τὸ ἐναντίον. ἡ σύνταξις δέ· ταύτης μὲν γὰρ ἡ ὁδὸς κατεναντίον, οἱονεὶ κατ' εὐθεῖαν καὶ ὀρθῶς γίνεται τῷ μακρῷ

---

4 ἄλλος δ' αὖ κόχλοισι G, om. K 6 post εἰσίν in G addita sunt haec, κόχλοισι δὲ τοῖς καλουμένοις κόχλασι τὸ ὅλον σῶμα ὁμοιοῦται τὴν χροιάν. δομὴν δὲ τὸ σῶμα. ἀλινδόμενον δὲ κυλιόμενον. 7 φολίς] φιλοσοφίς K: ἡ δὲ λεπὶς γράφεται ἔν τισιν καὶ λοφίς A 9 ποικίλην G, om. KP λεπτύνονται KA λεπρύνονται I. G. Schneiderus 12 διατρίβοντες G 15 τοσαῦτα KP 16 ἐξαρίθμησιν G ἐναρίθμησιν KA 23 τὴν ἀσπίδα G τῆς ἀσπίδος KP 24 κατ' ἀμφότερα χαλεπὸν μὲν λέγεσθαι διὰ KA κατ' ἀμφότερα μὲν λέγέσθαι χαλεπὴ μὲν διὰ GL 28 ἀμυδρὰν χοιράδ' KPA ἀμυδρῶν χοιράδων GL ἐξαλεύμενος P ἐξαμ́ν
λεύμενον GL ἐξαλευ K ἐξαλευάμενος A

διασπασμῷ καὶ εἱλιγμῷ τῆς γαστρὸς κατὰ τὴν ὁλκαίην ἀτραπόν, οἱονεὶ τὴν ἐπιμηκη. 160. δολιχῷ δὲ μηρύγματι γαστρός, οἱονεὶ τῷ ὁλκῷ ἢ τῷ βαδίσματι καὶ ἐπισπασμῷ ἀπὸ τοῦ μηρύεσθαι. ἀκατάλληλα δὲ τὰ ἔπη· ἔδει γὰρ οὕτως ἀναγινώσκεσθαι· φράζεο δῆτα ἀσπίδα φοινήεσσαν, εἶτα ἢ καὶ σμερδαλέον μέν, εἶτα νωχελὲς ἐξ ὁλκοῖο, εἶτα αἰὲν ἐπιλλίζουσα, εἶτα τῇ μὲν γάρ τε κέλευθος, εἶτα ἀτραπὸν ὁλκαίην.

161. σμερδαλέον: φοβερὸν μὲν καὶ καταπληκτικὸν ἔχει ἀπὸ τῆς ὄψεως, ἄλλως δὲ ἐν τῇ πορείᾳ καὶ τῷ ἑλκυσμῷ τοῦ σώματος νωχελής ἐστι καὶ ὑπνώδης· τὸ γὰρ ὑπναλέοις ἐπιλλίζειν ὅσσοις τοῦτο δηλοῖ, ὅτι συνεχῶς τοῖς ὄμμασιν ἐπινεύουσα φαίνεται.

165. ἀθρήσῃ: αἴσθησις ἀντὶ αἰσθήσεως, ὡς ἐπὶ τοῦ „ὁρῶ οἷα λέγεις“. νωθρὸν δὲ τὸν νωθῆ καὶ νωθείαν ἐμποιοῦντα, τουτέστι νωχελίαν καὶ ἀργίαν.

166. ὁλκῷ: τῷ δὲ ὁλκῷ τοῦ σώματος τροχώδη καὶ κυκλοτερῆ ἁλωνίαν εἱλίξατο ἐν τῇ γῇ. ἅλωνα δὲ εἶπε, διότι καὶ αὗται αἱ ἁλωνίαι τροχοειδεῖς καὶ κυκλοτερεῖς εἰσι τῷ σχήματι τῷ τυπουμένῳ τῷ εἱλιγμῷ τῆς ἀσπίδος.

ἅλωα: τὴν σπεῖραν, τὸ σῶμα. κυρίως δὲ τὴν νέφωσιν τὴν περὶ τὸν ἥλιον καὶ τὴν σελήνην γινομένην πολλάκις. Ἄλλως. κυρίως ὁ δίσκος τοῦ ἡλίου καὶ τῆς σελήνης· μετενήνεκται δὲ εἰς τὴν τῆς ἀσπίδος περιφέρειαν.

170. Αἰγανέη δὲ τὸ ἀκόντιον ἀπὸ μέρους, τοῦ αἰγείου ἱμάντος, ὃν ἐξαγκυλούμενοι βάλλουσι. λέγει δὲ τοῦ μεσαγκύλου τοῦ ἀναιροῦντος τοὺς θῆρας. εἴρηται δὲ παρὰ τὸ ἄγαν νεῖσθαι. 169. ὀργυιῇ δὲ μετρητὸν ἀντὶ τοῦ ἴσου καὶ μεμετρημένου ὀργυιᾷ.

171. εἰς ἐνοπήν: τινὲς ἀθετοῦσι τὸν στίχον τοῦτον, ὡς μὴ Νικάνδρου εἶναι.

172. χροιὴ δ' ἄλλοτε μέν: τὸ δὲ χρῶμα τοῦ γένους τῶν ἀσπίδων τινῶν μὲν ψαφαρόν, ὅ ἐστι λευκὸν ἢ αὐχμηρόν, τινῶν δὲ μειλινόεν, τουτέστι χλωρὸν καὶ μείλινον καὶ ποικίλον καὶ ὠχρότερον, τινῶν δὲ τεφρώδες καὶ σποδώδες, ἢ καὶ τῇ ἰλύι τοῦ Νείλου ἐμφερές. 174. αἰθαλόεσσα δὲ ἤτοι πυρώδης καὶ λαμπρά, ἢ ξανθή, ὁμοίως τῷ βώλῳ τῶν Αἰθιόπων μελαινομένη.

175. οἵην τε πολύστονος: ἐπεὶ μετὰ στόνου καὶ ἤχου ῥέει ὁ Νεῖλος. στένειν γὰρ τὸ ἠχεῖν· καὶ Ὅμηρος (Π. B 95)

ὑπεστονάχιζε δὲ γαῖα

---

1 ὁλκαίην ἀτραπόν P ὁλκὴν καὶ ἀτραπόν KG 3 μηρύεσθαι L μηρύνεσθαι K μηρύσθαι G μακρύνεσθαι P 6 εἶτα αἰὲν ἐπιλίζουσα GL, om. KP 11 ὅτι A ὅτε K 12 ὁρᾷς GP ὁρᾷ A ὅρα coniecit Bussemakerus 19 ἁλῶα K ἅλωνα P: ἅλων δὲ λέγεται μὲν καὶ ὁ δίσκος τοῦ ἡλίου καὶ τῆς σελήνης A 23 αἰγανέα GP ὃν] ὃ GP 24 τοῦ μεναύλου τοῦ ἀναιροῦντος τοὺς θῆρας P τὸν μέναυλον τὸν ἀναιροῦντα τοὺς θῆρας K τοῦ μεναύλου (rell. om.) G, correxit I. G. Schneiderus 31 καὶ μείλινον KP καὶ μήλινον G ὠχρότερον KP ὠχρόν A 37 ὑπεστονάχιζε δὲ γαῖα G ἐστονάχιζε δὲ γαῖα P στονάχιζε γαῖα K στοναχίζετο γαῖα A

λαῶν ἰζόντων.

ἢ καὶ πολύστομος. καὶ ἑπτάστομος γὰρ ὁ Νεῖλος, ὡς φησι καὶ Διονύσιος ὁ περιηγητής (v. 226). 176. πλησάμενος δὲ ἤγουν ἑαυτὸν ἐμπλήσας καὶ πληρώσας. οἵαν ἄσιν, τουτέστι ῥύπον. φησὶ γοῦν, οἷον ῥύπον κατέχεε καὶ κατήγαγεν ὁ Νεῖλος ἑαυτὸν πληρώσας.

177. δοιοὶ δ' ἐν σκυνίοισιν: τουτέστι περὶ τὰς ὀφρῦς ὑπεράνω τοῦ μετώπου δύο ὑπερφαίνουσι καὶ ἐξέχουσιν οἷα τύλοι· οὐ κέρατα δέ, ἀλλὰ τύλοι καὶ σαρκία τινά. Ἄλλως. ὑπὲρ τοὺς ὀφθαλμοὺς κατὰ τὸν τῶν ὀφρύων τόπον ἐξοχαί τινές εἰσι τύλοις ἐοικυῖαι περὶ τὴν ἀσπίδα, δι' ἃς ἀγκύλον αὐτῆς φαίνεται τὸ ὄμμα.

179. καὶ ὁ αὐχὴν ἐμπίπλαται φυσῶντος τοῦ θηρίου. 180. τὸ δὲ ποιφύζειν πολλαχῶς λέγεται, καὶ ποτὲ μὲν ἐπὶ τοῦ ἐκφοβεῖν, ὡς Σώφρων ἐν μίμοις „παιδικὰς ποιφύξεις", ποτὲ δὲ ἐπὶ τοῦ πνεῖν, ὡς Εὐφορίων

Ζεφύρου μέγα ποιφύξαντος.

μεταπλασμῷ δὲ πάλιν κέχρηται· ἀντὶ τοῦ ποιφυζούσης εἶπε τῆς ἀσπίδος ποιφύσσοντος, ὡς ὁ αὐτὸς ἐν ἄλλῳ τόπῳ (Ther. 129) εἶπε „ψολόεντος ἐχίδνης".

179. Πολλὸν ὑπὸ σπείρης: ἀντὶ τοῦ ἐντὸς τῆς σπείρης. ψαφαρὸς δὲ ἤγουν αὐχμηρὸς ὀγκοῦται ὁ αὐχήν· τοῦτο γὰρ σημαίνει τὸ ἀναπίπλαται.

180. καὶ τὸ ἄκριτα ἀντὶ τοῦ μεγάλα, ἄτακτα. τὸ δὲ ποιφύσσοντος ἓν μέρος λόγου ἐστὶν ἀντὶ τοῦ φυσῶντος.

180. ὀδίταις: καὶ τὸ ὀδίταις γράφεται καὶ ὀδουροῖς, ἤτοι τοῖς ὁδοιπόροις θάνατον προσπελάσσει καὶ ἐμβάλλει ἄγαν ὀργίλως θυμουμένη.

183. δολιχήρεες δὲ ἤτοι μακροί, ἢ πρὸς μῆκος ἐρηρεισμένοι, δι' οὗ σημαίνει τὸ σὺν μήκει ἰσχυρόν.

184. μύχατος δὲ χιτών: ὑποκάτω γὰρ τῆς γλώσσης τῆς ἀσπίδος χιτών ἐστιν, ὃς καλύπτει τοὺς ὀδόντας αὐτῆς, καὶ ὑποκάτω αὐτοῦ τοῦ χιτῶνος ἰὸς ἔγκειται. ὑμενώδης δέ ἐστιν ὁ χιτὼν καὶ τετριμένος πρὸς τὸ εἰσδέχεσθαι διὰ τῶν τρήσεων τὴν τροφὴν αὐτῆς. Ἄλλως. χιτών ἐστι λέπασμα. ὥσπερ δὲ χιτὼν ἐν τῷ στόματι τῆς ἀσπίδος καλύπτει τοὺς ὀδόντας αὐτῆς.

187. Οὔτε δυσαλθές: οὔτε δυσίατον οἴδημα ἐπιφλεγμαίνεται.

188. καμάτου δ' ἄτερ: χωρὶς ὀδύνης ἀπόλλυται ὁ ἀνήρ.

189. ὑπνηλόν: καὶ γὰρ τὸ ὑπνηλὸν νῶκαρ ἐπάγει τὴν τοῦ βίου

---

7 δύο G, om. KP 8 ὑπὲρ τοὺς ὀφθαλμοὺς G, om. P ὑπὲρ (om. τ. ὀφθ.) K 10 ἔγκοιλον A αὐτῆς GL αὐταὶς K αὐτῇ A 11 ἐμπίπλαται KP ἐμπίπραται GL φυσσῶντος K 13 παιδικὰ A: ἐν μίμοις ποτὲ παιδικὰς ποιφύξεις ποτὲ δὲ R ποιφύξεις GPA ποιφίξεις K ποιφύζεις L 15 ποιφύξαντος A ποιφίξαντος K 16 ἀντὶ GL ἀπὸ K ποιφιζούσης K 17 ποιφίσοντος K 22 ἄτακτα A εὔτεκτα, ut videtur, K 23 φυσσῶντος K 27 μακροί A μικροί K ἐρηρεισμένοι KPA ἐρριζωμένοι L 31 ὁ χιτὼν P χιτὼν K 33 σκέπασμα coniecit Bentleius 35 Οὔτε — ἐπιφλεγμαίνεται A, om. K

αὐτοῖς τελευτήν. νῶκαρ δὲ ὁ κάρος, ἤτοι ὁ ὕπνος, οἱονεὶ τοῦ νοῦ κάρωσις.

190. ἰχνεύμων: εἶδος ἀετοῦ. ἱερὸς δέ ἐστιν Ἡρακλέους, ὡς αἰγυπιός. ἀκήριος δέ, ἄνευ κηρὸς καὶ θανάτου. μόνος γὰρ ὁ ἰχνεύμων τὴν ὁρμὴν τῆς ἀσπίδος ἄνευ θανάτου ἐκφεύγει καὶ ἐκκλίνει, καὶ ὅταν εἰς μάχην συνέρχηται, καὶ ὅτε θαλπούσης αὐτῆς τὰ ᾠὰ πάντα λαβὼν διεσκόρπισε καὶ ἐξ ὑμένων ἐτίναξε κατεσθίων. 192. καὶ τὸ κηροτρόφου ἤτοι θανατοτρόφου, ἢ διὰ τὸ καὶ αὐτὰ τὰ τέκνα θανάτου εἶναι τοῖς ἀνθρώποις, ἢ διὰ τὸ τὸν ἰὸν τρέφειν.

194. συνερραθάγησε: τουτέστι ὁ κτύπος ὁ γινόμενος ὑπὸ τῶν κυμάτων κλωμένων αὐτῶν καὶ προσρηγνυμένων ἐν ταῖς πέτραις. ἀπὸ μεταφορᾶς δὲ τοῦ κτύπου τούτου εἶπε τὸ συνερραθάγησε, ἤτοι κατέαξε, συνέθλασε, συνέτριψε διὰ τὸ ἐν τῷ τρώγειν κτύπον ἀποτελεῖσθαι ὑπὸ τῶν ὀδόντων. ῥάθαγος δὲ κυρίως ὁ τῆς κώπης κτύπος.

195. κινωπέτου: τουτέστι θηρίου τοῦ ἐν τῷ πέδῳ κινουμένου εὐκινήτως. ἀμυδρῆς δὲ ἤτοι μικρᾶς, ἢ τῆς δεινῆς καὶ ὀργίλης. 196. ἴκτις δὲ ἡ λεγομένη ἀγρία γαλῆ· καὶ Ὅμηρος (Il. K 335)

κρατὶ δ' ἐπὶ κτιδέην,

ὡς ἀπὸ τῆς ἴκτιδος τοῦ ζῴου.

199. τιθαιβώσσουσι: κυρίως μὲν ἐπὶ μελισσῶν τοῦτο εἴρηται παρὰ τὸ τὴν βῶσιν τιθέναι· ἀλλ' ὅμως κατεχρήσατο τούτῳ καὶ ἐνταῦθα. Ἄλλως. κυρίως τρέφειν παρὰ τὸ τυτθὰ βόσκειν ἢ τρέφειν. 200. Ἰάμνους δὲ τὰς ἰαμενάς. καὶ θρυόεντας τοὺς θρυώδεις· θρύον δὲ εἶδος πόας· (Hom. Il. Φ 351)

ἰδὲ θρύον ἠδὲ κύπειρον.

201. εἰλικοέσσαις: ἑλικοέσσαις, ἤτοι ταῖς σπειρώδεσιν ἢ ἐπιμήκεσι.

[202. ποταμόνδε: ὁ ἰχνεύμων κώλοις, ἤτοι τοῖς ποσίν, ἔτυψε, ἔπληξε G]. 203. τάρταρον δὲ τὸν βυθὸν ἐνθάδε εἴρηκε θηλυκῶς. καὶ ἰλυόεσσαν δὲ τὴν ἰλυώδη καὶ βορβορώδη. 206. λιχμήρεος δὲ τουτέστι τοῦ προβάλλοντος τὴν γλῶσσαν ἐν τῷ λιχμάζειν. προβάλλουσι καὶ γὰρ οἱ ὄφεις τὰς γλώσσας μέλλοντες λείχειν. 208. βρυόεντος δὲ τοῦ βρυώδους καὶ βοτανώδους τόπου. καὶ γὰρ τὸ βρύον βοτάνη ἐστίν, ἧς τὸ φύλλον ἔοικε πράσῳ.

209. πολυδερκέα: ἤτοι τὴν κατὰ πολλοὺς τρόπους ὁρωμένην κατὰ τὸν πολύποδα. ἢ πολυδευκέα, πικράν.

212. ἤτοι ἀν' Εὐρώπην μέν: οὐχ ὅμοια τῶν δύο γαιῶν. αἱ

---

3 ὡς αἰγύπτιος KA, correxit Bentleius 8 κηριτρόφου L 10 συνερραθάγησε Ag συνερραθάγισε K 11 κλωμένων Ag κλυμένων αὐτῶν καὶ προσρηγνυμένων αὐτῶν K 12 συνερραθάγησε A συνερραθάγισε K 13 ἀποτελέσθαι K 16 ὀργίλου A 17 γαολοίη P 18 ἐπ' ἰκτιδέην G 21 τὸ add. G, om. KA βόσιν A 22 τυτθὸν βοσύειν G τυτθὸν βύσιν P τυτθὸν βώσσειν I. G. Schneiderus 23 τὰς ἰαμνάς K τὰς εἰαμενάς G 26 σπειρώδεσιν g ταῖς πυρώδεσιν KP 30 λιχμήριος K 35 τόπους coniecit Bussemakerus

γὰρ διάφοροι γαῖαι διάφορα τῶν ἑρπετῶν ἐκβάλλουσι. 213. κεραοὶ δὲ τουτέστι κέρατα οὐκ ἔχουσιν, ἀλλ' ἐξοχὰς ὑπὲρ τοὺς ῥώθωνας. ἀργίλιπες δὲ ἤτοι ἔκλευκοι, ὡς Ἀρχίλοχος „ἀργιλιπὴς δὲ Φᾶσις".

214. οἱ μὲν ὑπὸ Σκείρωνος: Σκείρων μὲν ὄρος μεταξὺ Μεγαρέων καὶ Κορινθίων κείμενον, ὅπερ τινὲς Σκειρωνίδα πέτραν καλοῦσι. Παμβώνια δὲ ὄρη τῆς Μεγαρικῆς, ὡς αὐτὸς ἐν τρίτῳ τῶν Θηβαικῶν,

τείχεά τε προλιπόντες ὑπὲρ Παμβωνίδας ὄχθας
ἐσσύμενοι Μεγαρῆος ἐνευνάσσαντο δόμοισι.

215. Ῥυπαῖον δὲ Ἀντίγονος μὲν τῆς Ἀχαιΐδος φησὶν εἶναι, ἐπεὶ καὶ Ῥυπαῖοι οἱ Ἀχαιοὶ ὠνομάσθησαν. ἔστι δὲ τῆς Αἰτωλίας, ὡς Νίκανδρος περί τινων εἰς Αἰτωλίαν διερχομένων διηγούμενος

δι' αἰπεινήν τε κολώνην
Οἰωνοῦ Ῥύπης τε πάγον καὶ Ὀνθίδα λίμνην
στείχοντες Ναύπακτον ἐς Ἀμφιδύμην τ' ἐπέλαξον.

τὸ δὲ Ἀσέληνον Λοκρικὸν ὄρος ἐστὶ δυσχείμερον. ταῦτα οὖν πάντα ὀνόματά εἰσιν ὀρῶν τῆς Εὐρώπης. πάλιν δὲ Βουκάρτερος καὶ Αἰσαγέης καὶ Κέρκαφος ὀνόματά εἰσιν ὀρῶν τῆς Ἀσίας.

219. τῶν ἤτοι βρεχμοὶ μέν: τὸ μὲν βρέχμα, ὅ ἐστι τὸ κρανίον, πλατύ ἐστιν· ὑπὲρ δὲ τὸ ἄκρον ὁλκαῖον ἡ σπεῖρα κολοβὴν οὐρὰν εἱλίσσεται, τουτέστιν ὑπὲρ δὲ τούτων μῆκος ἢ τὸ ἄκρον σῶμα. 220. ὁλκαῖον γὰρ τὸ μῆκος. ἡ δὲ ὑπέρ πρόθεσις ἀντὶ τῆς περί, ἵν' ᾖ ὅτι περὶ τὸ ἄκρον σῶμα ἡ σπεῖρα κολοβὴν ἑλίσσει οὐράν. τὸ γὰρ ἑλίσσεται ἀντὶ τοῦ ἑλίσσει καὶ συνέχει. ἢ ὅτι περὶ τὸ ἄκρον ἕλκυσμα τῆς σπείρας, τουτέστι τοῦ σώματος, κολοβὴν ἔχει τὴν οὐρὰν ἡ θήλεια.

223. πᾶς δέ τοι ὀξυκάρηνος: ὁ ἄρσην, ὁ ἔχις· ἔχιδνα δὲ ἡ θήλεια. εἰπὼν οὖν ὅτι ἡ θήλεια πλατὺ ἔχει τὸ βρέγμα, τὸν ἄρσενα ὀξυκέφαλον εἶπεν· ἐν τούτῳ δὲ τὸν αὐτὸν ἄρρενα καὶ θήλειαν. 224. ἀκιδνότερος δέ, ὥστε ἄνω μὲν μείζονα καὶ ἐπισημότερον εἶναι καὶ τὸν μέγαν καὶ τὸν ἥσσονα· ἀπὸ δὲ τῆς κοιλίας ἀκιδνότερος καταστρέφει εἰς τὸ ἀσθενέστερον καὶ οὐχ ὅμοιον τοῖς ἄνω μέρεσι. 226. πεδανὴ δὲ ἀσθενής.

---

3 ἀργιλιπὴς δὲ φάσις I. G. Schneiderus ex G ἀργιλιπὴς δ' ἐφᾷ K δὲ ἀργιλιπὴς φησιν A ἀρχιλιπὴς δημός φησί coniecit Lobeckius paral. p. 290 6 παμμώνια PA 7 παμβωνίδας G παμμωνίδας A παμμωνιτίδας KP Πατρωνίδας voluit C. O. Müllerus Orchom. p. 38 8 μεγαρῆες A ἐνευνάσσαντο A ἐνευνάσατο P ἐνενεύσαντο K δόμοισι A δέσμιοι K 11 περί A ἐπί K ἐρχομένων A 13 Οἰωνοῦ Ῥύπης τε πάγον I. G. Schneiderus οἰωνοῦ ῥύπης πάγον (πῦον G) KG οἰωνοῦ ῥίπης πάγον V οἰωνοῦ τε ρύπαιον A καὶ ὀντίδα G ὀνθίδα τ' αὖ A καὶ Ὀανθίδα coniecit Meinekius in Stephan. Byz. I p. 485 κατ' Ὀανθίδα O. Schneiderus p. 131 14 στείχοντες P στείχοντος V στίχοντ° K σχείοντο (an στείχοντο?) G: στείχοντες ἴσαν ναύπακτον. ἀμφὶ δύμην δ' ἐπελάζετο A ἐς I. G. Schneiderus εἰς KGPV ἀμφι δίμην K τε πέλαζον G δ' ἐπέλαβον K δ' ἐπελάζετο P τ' ἐπι..... V 16 αἰσαγαίης K αἰγαγέης A αἰγιγαίης P 19 ὑπὲρ δὲ τὸ ἄκρον μῆκος ἢ τὸ ἄκρον σῶμα· ὁλκαῖον γὰρ τὸ μῆκος καὶ τὸ σῶμα· ἡ σπεῖρα κολοβὴν οὐρὰν ἑλίσσεται, τουτέστι τὸ τούτων μῆκος οὐκ ἔστιν ἐκτεταμένον. ἡ δὲ Schneiderus ex G 20 τουτέστιν ὑπὸ KP 21 ἢ ὑπέρ P 24 ἡ θήλεια A, om. K 26 βρέχμα P

ὁμοίως καὶ φολίδα μικροτέραν καὶ ἀσημοτέραν ὑπερβεβηκυῖαν ἔχει. ἡ δὲ ὁλκὴ ὑποτετάνυσται. Ἄλλως. ἡ δὲ μύουρος: οὐρὰ ἐπὶ τῇ ὁλκῇ τετάνυσται. πεδανή: ταπεινή, νῦν δὲ μικρὰ καὶ ὀλίγον στενουμένη.

226. Ἴσως μὲν πεδανή: ἐξ ἴσου δὲ ταπεινὴ ὑπὸ τοῖς πέρασι τοῦ δολιχοῦ ὁλκοῦ. τὸ ἴσως ἀντὶ τοῦ ὁμοίως, ἐξ ἴσου τῇ γαστρί. Ἄλλως. τὸ ἐπάνω τῆς οὐρᾶς μέρος πολλὰς καὶ λαμπρὰς ἔχει φολίδας· τὸ δὲ ὑποκάτω τῆς οὐρᾶς οὐχ οὕτως ἔχει. 227. τετρυμμένη δὲ ἰσχνή, ἤτοι κατεξηραμένη, φρίσσουσα ἢ πεπυκνωμένη.

228. Γληνέα φοινίσσει: ἤτοι αἱματώδεις ἔχει τοὺς ὀφθαλμούς. τεθοωμένος: ἤγουν παρωξυμένος, τεταραγμένος. καὶ τὸ δικρῇ δὲ ἀντὶ τοῦ διστόμῳ. δύο γὰρ τρήματα ὡς γλῶσσα.

229. σκωλύπτεται οὐρήν: τουτέστι σκολιῶς κινεῖται ἢ τραχύνεται, ἅπτεται. γράφεται καὶ σκωλύνεται ἢ σκωλύπεται, εἰλιγμένην ἔχει καὶ σκολιὰν καὶ οὐκ εὐθεῖαν τὴν οὐράν.

230. κωκυτὸν δέ: καὶ γὰρ ἀθετεῖται ὁ στίχος οὗτος ὡς ὑπόβολιμαῖος. 231. κυνόδοντες δὲ δύω, ἐπειδὴ δύο μόνοι εἰσὶν ἰοβόλοι τῶν ἀρρένων ὀδόντες, πολλοὶ δὲ τῶν θηλειῶν.

[233. οὔλῳ· ὅλῳ ἢ ὀλεθρίῳ καὶ ὁλοῷ G.]

234. εὐρυνθέντας: χωρογραφηθέντας τοὺς ὀδόντας καὶ εὐρέας γινομένους. χαλινοὺς γὰρ τοὺς ὀδόντας φησί.

237. πολλάκι μὲν χλοάουσα ἀντὶ τοῦ χλωρή. μεταπεποίηται δὲ ἐκ τῶν Νουμηνίου οὕτως,

ὑπόχλωρόν γε μὲν ἕλκος
κυκλαίνει. τὸ δὲ πολλὸν ἀνέδραμεν αὐτόθεν οἶδος.

Ἄλλως. Διογενιανὸς χλοάζειν ἢ καλῶς αὔξεσθαι ἢ βλαστάνειν. Θέων δὲ ἐν ὑπομνήματι χλοάζουσα, οἰδοῦσα. κατὰ πλέον δὲ τίθεται τὸ χλοάζειν. 240. Αἱ δὲ φλύκταιναι ἀραιαὶ τῶς εἴτε, ἀντὶ τοῦ ὡς εἴτε, πομφόλυγες χαμηλαὶ ἢ θαμιναὶ ἐν πυρὶ ζέοντος ὕδατος γίνονται, οὕτω πλαδόωσί, φησι, καὶ ἐν τῷ σώματι τοῦ δηχθέντος. ὥσπερ γίνονται πομφόλυγες ἐν τῷ ὕδατι τῷ πυρί, οὕτως γίνονται αἱ φλύκταιναι αἱ ἀραιαί. ἀραιαὶ δὲ τουτέστιν ἀσθενεῖς καὶ κεναί. οὐδὲν γὰρ ἔχουσιν, ἀλλὰ κεναί εἰσιν. πομφόλυγες δὲ αἱ ἀναρρήξεις τοῦ ὕδατος. 241. καὶ τὸ πυρικμήτοιο ἀντὶ τοῦ κεκαυμένου ὑπὸ πυρός.

241. πλαδόωσι: κυρίως τὸ μὴ ἀντίτυπον πλαδόεν καλεῖται. Πλαδόωσιν ἤγουν ὑγραὶ γίνονται ἢ οἰδοῦσι καὶ πλατύνονται. ὅθεν καὶ

---

1 μικροτέραν καὶ ἀσημοτέραν A: καὶ om. K ἐπιβεβηκυῖαν P ὑποβεβηκυῖαν G 4 ὑπὸ τοῖς πέρασι A ὑπὸ τοῦ παρασίτου K 7 τετρυμένα δὲ ἴχνη ἤτοι κατεξηραμένα K τετριμμένη ἰσχνὴ κατεξηραμμένη G 11 τρήματα P τρύματα K τμήματα G γλῶτται G 13 ἢ σκωλύπται K ἢ σκωλύττεται P 16 κυνόδοντε δύω G 21 πολλάκι — χλωρή] γράφεται πολλάκι μὲν κλώθουσα ἀντὶ τοῦ χλωρά G 22 ἐκ τοῦ νουμηνίου KA 23 γε om. KA, add. Meinekius exercit. crit. in Athen. I p. 3 24 κυκλαίνει AP κοιλαίνει KG οἶδος Meinekius l. c. ἕλκος KA 25 χλοάειν A 26 χλοάζουσα KP χλοάουσα A κλώθουσα G χλοάειν AP κλώθειν G 27 τὼς εἶπεν ἀντὶ τοῦ ὡς αἵ τε πομφόλυγες P 28 ζέοντι K 35 καὶ πλατύνονται G καταπλύνονται KP καταπαλύνονται A

πλαδαρὸν σῶμα τὸ ὑγρόν φαμεν, ὅπερ πιλούμενον τῷ δακτύλῳ ἐνδίδωσί τε καὶ κοιλαίνεται, πάλιν δὲ εὐθέως ἀναδίδωσι καὶ γεμίζει τὸ κοίλωμα.

246. *Κιονά τε*: ἤγουν τὸν τράχηλον, ἐπειδὴ τρόπον κίονος ὑποβαστάζει τὴν κεφαλήν· οἱ δὲ τὸν γαργαρεῶνα· οἱ δὲ τὴν λεγομένην κιονίδα, κοινῶς δὲ σταφυλήν. *κίων* δὲ διὰ τὸ κεῖσθαι ἀπὸ τοῦ κάτω μέρους τοῦ στομάχου μέχρι τοῦ ἄνω.

247. *αἶψα δὲ γυίοις*: ἀντὶ τοῦ εὐθέως τοῖς μέλεσι καὶ τῇ ἰξύι, ἤγουν τῇ ὀσφύι, ἡ ἀδράνεια βαρύνουσα αὐτόν, μέρμερος φροντίς, ἴζει καὶ γίνεται.

249. *σκοτόεν βάρος*: καροῦται γὰρ ὁ πλησσόμενος ὑπὸ τῆς ἐχίδνης. 252. *ξαλόωσα δέ*, χιονίζουσα, τρέφουσα χειμερινὸν κρύος ζαλῶν. *πέριξ βέβριθεν*: ἀντὶ τοῦ ῥίγει συνέχεται χαλεπωτάτῳ ὁ δηχθείς.

253. *χολόεντας*: τὴν χολὴν ἤμεσε. περιπέφρακεν, ὅ ἐστι χολώδη ἀπεμεῖ. 254. *νοτέων* δὲ ἀντὶ τοῦ ὑγραινόμενος. ὁ δὲ ἱδρὼς νοτέων περὶ τοῖς μέλεσι ψυχρότερος τῆς τοῦ νιφετοῦ βολῆς περιχέεται.

256. *ζοφοειδέος*: σκοτώδους, ἤγουν ὠχροῦ. 257. *ἄνθεσι δὲ χαλκοῦ* ἀντὶ τοῦ χαλκάνθῳ, ἣν νῦν φασι καλακάνθην. ἄνθος δέ ἐστιν χαλκοῦ τι γένος γινόμενον, ἐν οἷς ὁ χαλκὸς χωνεύεται καὶ καθίεται, πελιδνόν τε καὶ μᾶλλον ἔχον ἔγκιρρον τὴν πελιδνότητα· μικρὸν δὲ καὶ στρογγύλον καὶ παραπλήσιον τῷ σπέρματι τοῦ νάπυος· καὶ ἴσως τούτου μέμνηται ὁ Νίκανδρος. γράφεται δὲ καὶ *ἄνθεσι χάλκης*. οὕτως καὶ παρὰ Νουμηνίῳ,

ῥέθεσίν γε μὲν εἶδετ' ἐπ' ἰχῶρ
ἠερόεις· τοτὲ δ' αὖ μολίβῳ ἐναλίγκιον εἶδος
ἀμφὶ ἑ κυδαίνει χάλκῃ ἴσον.

ἔστι δὲ ἡ χάλκη ἄνθος, ἀφ' οὗ καὶ τὴν πορφύραν ὠνόμασαν. ὁμοίως τὸ ἐμφερὲς τὸ ἐν τῇ Ἡρακλείᾳ,

φολὶς δ' ἀπέλαμπε φαεινή·
ἄλλοτε μὲν κυανοῦ, τοτὲ δ' ἄνθεσιν εἴσατο χαλκοῦ.

258. *δολόεντα δὲ εἶπε τὸν κεράστην, ἐπεὶ ἐν τοῖς ἀμαξιτοῖς κρύπτων ἑαυτὸν ἀναιρεῖ τὸν τυχόντα.*

260. *ἤτοι ὁ μὲν κόλος ἐστίν*: ἀντὶ τοῦ κολοβὸς τοῖς κέρασι, τουτέστι μὴ ἔχων κέρατα· ὁ γὰρ ἔχις οὐκ ἔχει κέρατα· κόλος οὖν ἤτοι ὁ ἀκέρατος ἔχις. Ἢ τῷ μήκει ἐλάσσων ἐστίν. εἰσὶ δὲ κεράσται ἀκέρα-

---

5 *κοινῶς δε σταφυλήν* KA *οἱ δὲ τὴν σταφυλήν* PG 6 *ἄνω*] *οὐρανοῦ* coniecit Bernardus 17 *ζοφοειδέος* P *ζοφοειδοῦς* K *ἤγουν*] *ἢ τοῦ* P 20 *πελιδνόν* A *παράλιον* K ut videtur 22 *κάλχης* coniecit I. G. Schneiderus 24 *ῥέθεσι γε* K *ἄνθεσί γε* A, unde *χρανθείς γε μὲν εἶδετ' ἐπὶ χρώς* coniecerat O. Schneiderus p. 201, qui nunc *ῥέθεσιν* quidem se probare, *ἐπὶ χρώς* tamen tueri mihi significavit 25 *μολίβῳ ἐναλίγκιον* A *μολίβδῳ ἐναλίγγιον* K 26 *κυκλαίνει* coniecit I. G. Schneiderus 28 *ἀμφερὲς* K: *τὸ δὲ ἐμφερὲς ὅμοιον τῷ* A 29 *φαεινήν* P 35 *ἀκέρατος* G: *ἀκέραστος ἔχις*: *περὶ ἀκεράστου*: *ἢ τῷ* K *κεράσται ἀκέραστοι* KPA

τοι οἳ καὶ κόλοι λέγονται. 261. *Πισύρεσσι δέ, ἐπεί εἰσι καὶ τετρακέρατοι κεράσται καὶ δίκεροι.*

263. *ἁματροχιῇσιν: ἀντὶ τοῦ ἁρματροχιαῖς, λέγει γὰρ ταῖς χαράξεσι τοῦ τροχοῦ, ταῖς γινομέναις εἰς τὴν γῆν. ἐν αὐταῖς γὰρ κοιμᾶται ὁ κεράστης ἔχις. τὸ δὲ ἐνδυκὲς αὖει ἀντὶ τοῦ ἐπιμελῶς καὶ συνεχῶς κοιμᾶται ἢ διάγει. ἐξενήνεκται δὲ χωρὶς τοῦ ι. ἔστι δὲ τὸ πλῆρες ἰαύει.*

264. *θοὸς ἀντία θύνει: ὁ ἔχις ἀντίον τρέχει ὀρθῶς καὶ συντόμως τῷ μηρύγματι, ἤτοι τῷ ἐπισπασμῷ τῆς γαστρός.*

266. *αὐτὰρ ὅγε: ὁ δὲ κεράστης πλάγιος ἐπικυλίεται τῷ σώματι.* 267. *τετρηχότι δὲ ἢ δασεῖ ἢ τραχεῖ· διὸ καὶ ἠχεῖ ἡ πορεία αὐτοῦ. ἐκ δὲ τοῦ πορεύω γέγονε πορεία, ὥσπερ ἐκ τοῦ περισσεύω περισσεία.*

268. *τράμπις ὁλκαίης: ἤτοι τῆς ἐπισπωμένης. πολλῆς δὲ ἐμφάσεως ἡ παραβολὴ γέμει καὶ σεμνότητος κατὰ τὴν συνθήκην. τράμπις δέ ἐστι βαρβαρικὸν πλοῖον. καταχρηστικῶς δὲ εἶπεν. ὁ γὰρ νοῦς οὕτως, τοῦ πλοίου τὴν ὁλκὴν ποιοῦντος ἴσος ἐν τῷ καμάτῳ, τουτέστι τῷ βαδίσματι. ὥσπερ γὰρ τὸ πλοῖόν, φησι, τῇ βίᾳ τοῦ ἀνέμου ἐκκρούεται, ἤγουν ἀποπέμπεται, ἔξω τῆς εὐθείας ὁδοῦ καὶ πλάγιον, ἤγουν ἐπίπλευρον, φέρεται, οὕτως καὶ ὁ κεράστης πλάγιος καὶ ἐπίπλευρος ἕρπει. ὅτι πλοῖον ἡ τράμπις καὶ Λυκόφρων φησί* (v. 97),

τράμπις σ' ὀχήσει καὶ Φερέκλειοι πόδες.

ὑπὸ γὰρ τοῦ Φερέκλου κατεσκευάσθησαν αἱ νῆες τῷ Ἀλεξάνδρῳ. Ἀκάτῳ ἴσος: ἐὰν μὲν ἡ ἀκάτῳ, ἐκ δισσοῦ κεῖται ἡ λέξις· ἐὰν δὲ καμάτῳ, ὅπερ ἄμεινον, ἀντὶ τοῦ πλῷ. 270. *τὸ δὲ ἀπόκρουστος ἤτοι πλαγιαζομένη ἢ ἀποκρουομένη ἢ κλυζομένη τῇ πνοῇ τοῦ λιβός. ἢ ἀπόκρουστος ὡσανεὶ ἀπόβλητος καὶ οἷον ἀποπεμπομένη καὶ ἀποβαλλομένη τῆς εὐθείας ὁδοῦ.*

272. *Ἥλῳ ἐειδόμενον: ἧλος σκλήρωμά ἐστι περὶ τὰ πέλματα τῶν ποδῶν γινόμενον στρογγύλον καὶ παραπλήσιον τοῖς τῶν ἥλων κεφαλίοις. ἔστι δὲ ἧλος τὸ ἐπιθημίως καλούμενον καρφίον.*

273. *φλύκταιναι: ἤτοι αἱ φλυκτίδες αἱ περὶ τὸ δῆγμα μικρὸν ἐπανιστᾶσαι καὶ ἀδιάγνωστοι περὶ τὴν πρόσοψιν. πέμφιξι δὲ ταῖς φύσαις, ταῖς ἐν τοῖς ὕδασι γινομέναις πομφόλυξιν.*

---

2 δίκεροι] δικέρατοι G 3 ἁματροχιῇσιν ἀντὶ τοῦ ἁρματροχιαῖς P: in K non satis adparuerunt verba. ἁματρ. ἀ. τ. ἁρμ. κατὰ συγκοπὴν διὰ τὸ μέτρον G ἁματροχιῇσιν ἀντὶ τοῦ ἁμαξοτροχιαῖς κατὰ συγκοπὴν A 9 τῷ ἐπισπασμῷ ἢ τῷ βαδισμῷ τῆς γαστρός GL 16 ἴσος ἐν τῷ καμάτῳ ἢ ἐν τῷ βαδίσματι GL: ἴσως KP 18 πλάγιοι ἤγουν ἐπίπλευρος φέρεται K πλάγιον τουτέστιν ἐπίπλευρον φέρεται GL 19 πλάγος K 23 ἴσως K 24 ἀντὶ πλῷ K ἀντὶ πλοίῳ P τὸ δὲ ἀπόκρουστος — 26 ὡσανεὶ A, om. K 29 κεφαλίοις G κεφαλαίοις K 31 αἱ ante περὶ om. K μικρὸν ἐπανιστᾶσαι K μικραὶ ἐπανίστανται GL μιξάϊον ἐπανίστασθαι P

275. ἤτοι ἀφαυρότερον: δηλαδὴ ἀνεπαισθήτως ἀλγοῦσιν οἱ δηχθέντες. ἢ ἀσθενέστερον καὶ σύντονον. ἐπιφέρει γὰρ καὶ ἐννέα αὐγάς, ὅτι ἐπὶ ἐννέα ἡμέρας μόνον ζῶσιν οἱ δηχθέντες ὑπὸ κεράστου.

276. οἷσι κεράστης: τὸ δὲ οἷσιν ἀντὶ τοῦ ᾧτινι. ἀπὸ γὰρ ἑνικοῦ μετῆλθεν εἰς πλῆθος, δέον εἰπεῖν ὅτε κεράστης.

278. ἀσκελές: ἀδιαλείπτως, σκληρῶς, ἢ ἴσον ἐν τοῖς δύο βουβῶσι.

281. μόγις γε μέν: νοητέον τὸ μόγις γε μέν ἀντὶ τοῦ σπανίως. ἢ διχῶς γράφεται πολεῖς, ἵν' ᾖ πολλοὶ ἐξέφυγον τὴν μοῖραν, ὡσανεὶ καὶ ἔζησαν.

284. ὑπάρπεζον: Αἰτωλοὶ τὴν ὕπτιον καὶ λεῖον ὑπάρπεζόν φασιν. * οἱ μὲν τὴν αἱμασιάν, οἱ δὲ τὸν προάντη καὶ τραχὺν τόπον, οἱ δὲ λίθον. 286 * μῆκος ἔχοντα ποδός. ἔστι δὲ πήχεως δίμοιρον ὁ πούς.

286. αὐτὰρ ἐπ' εὖρος: ἐπὶ δὲ τὸ εὖρος τέθρυπται, ὅ ἐστι τέθλιπται. λεπτὸς γάρ ἐστιν ὅλος. ὁ γὰρ λόγος, ἀπὸ τῆς κεφαλῆς μέχρι καὶ τῆς οὐρᾶς τέθρυπται ἢ τέθλιπται καὶ λεπτός ἐστιν.

288. ψολόεις: ἀντὶ τοῦ καυστικός, ἤγουν πεπυρακτωμένος διὰ τὴν ἐκ τῆς ἀλγηδόνος πύρωσιν (εἴωθε γὰρ τοῖς δηχθεῖσιν ἐπακολουθεῖν), ἢ διὰ τὸ διαπύρους ἔχειν τοὺς ὀφθαλμούς, ἢ διὰ τὸ κεκινημένον εἶναι καὶ τραχὺ τὸ δῆγμα. Ψολόεις: τρία σημαίνει ἡ λέξις. ἔστι γὰρ ψολόεν τὸ μέλαν, τὸ σποδοειδές, τὸ λαμπρόν· Εὐφορίων

ἢ Αἴτνην ψολόεσσαν ἐναύλιον ἀστεροπαῖον.
λιγνύν τε ψολόεσσαν ἀιδνήεντά τε καπνόν.

καὶ Αἰσχύλος ἐν Βασσαρίσιν

κάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ.

289. Πεδανὴ δέ οἱ οὐρή: καὶ γὰρ πεδανὴ λέγεται ἡ λεπτὴ οὐρὰ καὶ συνεστραμμένη. Ἄξυλος δὲ ἱστορεῖ ὅτι καὶ κέρατα ἔχει. αἰ-

---

1 ἀνεπαισθήτως G ἀνεναισθήτως P ἀναισθήτως K ἀλγοῦσιν οἱ δηχθέντες. ἢ ἀσθενέστερον καὶ σύντονον. καὶ ἐπάγει. Ἐννέα δ' αὐγάς A ἀλγοῦσιν οἱ ὀδόντες. ἐπιφέρει γὰρ καὶ ἐννέα αὐγάς K. ἢ — ἐπάγει in P post 3 κεράστου legi adnotavit Bussemakerus 5 ᾧτε κεράστης A 8 μόγις KG μόλις A γε priore loco om. KA 11 τὴν ὕπτιον KP τὸν ὕπτιον A λείαν P 12 φασί. τρηχὼ δὲ οἱ μὲν αἱμασιάν φασιν, οἱ δὲ τὸν προάντη καὶ τραχὺν τόπον, οἱ δὲ λίθον. μήκη μέν· τὸ μῆκός φησι αὐτοῦ ποδιαῖόν ἐστιν. ὁ δὲ πούς A προάντην K 15 ἐπειδὴ τὸ εὖρος K ἐπὶ τὸ εὖρος G 16 ἐστιν ὁ λόγος. ὁ γὰρ λόγος K ἐστιν ὅλος. ὅλος γὰρ A 19 ἐκ G, om. KA 21 ψολόεις: περὶ αἱμόρρου τρία KP 22 τὸ μέλαν τὸ σποδοειδὲς τὸ λαμπρόν A τὸ μέλας ψολοειδὲς λαμπρόν K: ψολοειδές etiam V 23 ἔναυλόν τ' coniecit Heynius in Apollod. p. 4 ἀστεροπαῖον KPVA Ἀστεροπαίου I. G. Schneiderus. ἀστεροπάων coniecit Meinekius anal. Alex. p. 103. post hunc versum καὶ ἔτι add A, om. KV 24 λιγνύν τε R λιγνήν τε V ἰγνύν τε KPG ἰδνόν τε L ἀχλύν τε A λιγνὺν δὲ I. G. Schneiderus ψολόεσσαν καὶ ἀιδνήεντά τε KV: καὶ om. A 26 κάρφει AV σκάρφει KPR 28 Ἄξυλος — ἔχει om. A. ἄξυλος KP ὀξύλος GL καὶ GL, om. K

θὸς δὲ ἤτοι κεκαυμένος ἢ σποδώδης ἢ διάπυρος ἢ αἰθαλώδης. καὶ τὸ ἐσφήκωται ἀντὶ τοῦ συνῆκται, ἔσφιγκται, πέπλεκται.

290. *κατομφάλιος: ἀπὸ τοῦ ὀμφαλοῦ στενή ἐστιν ἡ οὐρά.*

291. *ὑπὲρ νιφόεντα: ψύχει φονεύοντα. ἐν δὲ τῇ συντάξει ὁ στίχος οὗτος μετὰ τοῦ ἀπ' αὐτοῦ συμπλέκεται, καί ἐστιν ἡ σύνταξις οὕτως, τοῦ μὲν ὑπὲρ νιφόεντα φάη κέρατα δοιὰ μετώπῳ ἔγκειται, τουτέστι τούτου μὲν ὑπὲρ τὰ κρυμώδη ὄμματα, ἤγουν ὑπεράνω αὐτῶν, κέρατα δύο ἐν τῷ μετώπῳ ἔγκειται. νιφόεντα δὲ ψυχρά. κοινῶς δὲ πάντα τὰ ἑρπετὰ ψυχρά ἐστιν.* 292. *πάρνοψι δὲ ταῖς ἀκρίσιν. ἢ τὰς λογάδας προσεικής, ἤγουν ὅμοιος τῷ λευκῷ τῶν ὀφθαλμῶν.* 293. *λαμυρὸν δὲ ἤτοι λάβρον ἢ ταραχῶδες ἢ ἀκίνητον.*

294. *δοχμὰ δ' ἐπισκάζων: ἤτοι πλάγιος, φησιν, πορεύεται προβάλλων τὴν κοιλίαν καὶ ταῖς φολίσιν ὑποτρίβων τὴν γῆν.* 295. *βαιὸν δὲ πλόον νῦν τὴν ὁδόν, τὴν πεζὴν πορείαν. οὕτω γὰρ καὶ Ἀντίμαχος εἶπε*

τοῖσι δ' ἂν ὑλήεντα διὰ πλόον ἐρχομένοισιν.

καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ γυναῖκα ποιήσας ἐπὶ ξεύγους ὄνων ὀχουμένην παρεισάγει τινὰ ἐρῶντα αὐτῆς, ἣ καὶ ἐρεθίζουσά φησι πρὸς αὐτόν

ἀποπλευστέον ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι σήμερον.

296. *φολίσιν δὲ καὶ οἴμῳ: τῇ βαδίσει. γράφεται καὶ ὁλκῷ, τουτέστιν τῷ σώματι.*

297. *ὑποψοφέων: μεταφορικῶς· ἠρέμα ἕρπει προσπταίων, τουτέστι τραχύνεται τῇ φολίδι ἡ γαστήρ, καὶ παρασύρων προστρίβεται τῇ γῇ καὶ ὑποψοφεῖ, οἷα χύσιν καλάμης διέρπων, τουτέστιν ὡσεὶ καλάμους διέρπων, ἤγουν βαδίζων.*

300. *γαστὴρ δ' ὑδατόεσσα: ἀντὶ τοῦ πολλὰ ὕδατα πίνει ὁ δηχθείς, ἡ δὲ ὑδατώδης αὐτοῦ γαστὴρ σκαίρει καὶ πηδᾷ. τοῦτο γὰρ τὸ πιδύεται. κυρίως δὲ τὸ πίνειν, ἐξ οὗ καὶ τὸ πῖδαξ ἡ πηγή.*

302. *πεφορυγμένον δὲ ἤγουν μεμολυσμένον, ὅ ἐστιν ἀναμεμιγμένον καὶ συγκεκραμένον τῷ χολώδει ἰῷ.*

303. *αἱ δ' ὑπὸ γυίοις: αἱ δὲ ὑπὸ τοῖς μέλεσιν ὠτειλαὶ ῥή-*

---

2 *συνῆπται* A *ἔσφιγκται* L, *ἔσφικται* K *ἔσφηκται* G 5 *μετὰ τοῦ ὑπ' αὐτῷ* K *μετὰ τῶν ὑπ' αὐτοῦ* P *μετὰ τὸν ἀπ' αὐτῷ* G 9 *ψυχρά ἐστι πάρνοψι δὲ ταῖς ἀκρίσι* P *ψυχρά:* ~ *παρνιφετοὶς ἀκρίσιν* K *πάρνοψι — ὀφθαλμῶν*] *κατὰ δὲ τὰς λογάδας ἤγουν τὰ λευκὰ τῶν ὀφθαλμῶν προσεικὴς καὶ ὅμοιός ἐστι ταῖς πάρνοψιν. ἤγουν ταῖς ἀκρίσιν. ἢ ταῖς ἀγρίαις μελίσσαις (ἢ ἀττελάβοις* GL) A 11 *λάβρον* GL *λαῦρον* KP 17 *καὶ ἀριστοφάνης* R *καὶ ὁ ἀριστοφάνης* V *ὡς δὲ καὶ ἀριστοφάνης* KA

18 *ὀχουμένην* AR *ἐρχομένην* K *ὀχουμένων* V *αὐτῆς — ἐπὶ* extrita sunt in K: *αὐτῆς ἢ καὶ ἐρεθίζουσά φησι πρὸς αὐτόν* A *αὐτῆς οὗτος αὐτόν* VR 20 *ἀπόπλει σε τὲ ἐπὶ* V *ἀπόπλεισε τί ἐπὶ* R *ἀπέπλεισε τεὸν ἐπὶ* P *ἀπέπλεις τεὸν ἐπὶ* A: *ἀποπλευστέον ἐπὶ* Toupius emend. in Suid. II p. 83 *ἀποπλευστέ' οὖν ἐπὶ — τήμερον* Bergkius apud Meinekium com. Graec. fragm. II p. 997 21 *τῇ βαδίσει τοῦ σώματος* KA: *τοῦ σώματος* om. G 24 *τούτου δὲ τετράχυται* G 25 *ὡσεὶ*] *ὡς εἰς* KA

γνυνται. εἶπε γὰρ ὅτι ὅλον τὸ σῶμα πελιδνοῦται καὶ ὠτειλῶν πληροῦται· ὠτειλαὶ δὲ αἱ πληγαί εἰσι. καὶ Ἀπολλώνιος δέ φησι τῶν πληγέντων ὑπὸ αἱμορροΐδος ῥήγνυσθαι καὶ τὰς ὠτειλάς.

306. πίμπραται: τουτέστιν ὑποκαίεται καὶ πυροῦται τὰ οὖλα, ὡς ὑπὸ πεπέρεως ἢ σινάπεως, ἤγουν πυρακτοῦνται καὶ ἀναβράζουσιν. 307. ἀσταγὲς δὲ ἤτοι ἄστακτον ἢ μὴ στάζον, ἀλλὰ κρουνηδὸν φερόμενον, οἱονεὶ πολυσταγές. 308. μυδόωντες δὲ ἤτοι δυσώδεις, δίυγροι τῇ σήψει τῶν οὔλων καὶ τοῦ αἵματος· ἢ ὄζοντες, καὶ δυσωδίαν πνέοντες.

309. εἶ γ' ἔτυμον: τὸ ἐξῆς, τῶν δ' Ἑλένη μέσον ὀλκὸν ἀνέκλασεν, εἶτα, εἶ γ' ἔτυμον Τροιηθεν ἰοῦσα. ἱστέον δὲ ὅτι ἀπὸ Τροίας ὑποστρέφων ὁ Μενέλαος σὺν τῇ Ἑλένῃ ἐπλανήθη καὶ ἦλθεν εἰς Αἴγυπτον. ὁ γοῦν κυβερνήτης αὐτοῦ Κάνωβος ἐξελθὼν κοιμηθῆναι ἐν τῷ αἰγιαλῷ ἄκων ἀπεκοιμήθη, καὶ ἐπιπέπτωκεν αἱμορροΐδι, ἥτις θλιφθεῖσα ὑπ' αὐτοῦ τὸν αὐχένα καὶ ὀδυνηθεῖσα ἐξελθοῦσα ἔδακεν αὐτόν. θνήσκοντα οὖν ὑπ' αὐτῆς τὸν κυβερνήτην θεωρήσασα ἡ Ἑλένη καὶ ὀργισθεῖσα ταῖς αἱμορροΐσιν, ἔκλασε τὴν ἄκανθαν αὐτῆς καὶ ἐξέβαλε τοὺς τῆς ῥάχεως αὐτῆς σπονδύλους, καὶ ἔκτοτε αἱ αἱμορροΐδες καὶ οἱ σκολιοὶ καὶ οἱ πλάγιοι κατὰ τὴν πορείαν κεράσται κεκλασμένοι εἰσὶ τὰς ῥάχεις. καὶ ἡ μὲν ἱστορία οὕτως· τὸ δὲ χαλέψατο ἀντὶ τοῦ ὠργίσθη τῶν αἱμορροΐδων τῷ γένει.

310. πολύστροβον: τουτέστι πολλὰς ἴλιγγας ἔχοντα καὶ ἀπειροπληθῆ καὶ ἀπλήρωτα καὶ πολλὰ ῥεύματα. καὶ γὰρ στρόβος ἐκεῖνα λέγεται, ἡ τῶν ὑδάτων στροφή.

312. κυβερνητῆρα: ἡ αἱμορροΐς ἔδακε Κάνωβον, τὸν κυβερνήτην τοῦ Μενελάου, καθεύδοντα ἐν τῷ πρὸς Αἴγυπτον αἰγιαλῷ καὶ ἐνῆκεν αὐτῷ ἰόν. 313. Θώνιος δὲ ἤτοι ἐν τοῖς ψαμάθοις καὶ τοῖς αἰγιαλοῖς τοῦ Θώνιος. Θῶνις γὰρ βασιλεὺς γέγονε τῆς Αἰγύπτου.

316. ὁλκόν: ἤτοι σῶμα. εἰδέναι χρὴ ὅτι εἰς ἀρσενικὸν μετήγαγε τὸν λόγον συμφωνῶν τοῖς προσάγουσιν. ἀκάνθης δὲ ἤτοι τῆς αἱμορροΐδος τὴν ἄκανθαν, δηλονότι τὸ κέντρον αὐτὸ τὸ λεγόμενον κοινῶς, ἔκλασεν ἡ Ἑλένη χαλεπήνασα τοῖς ἑρπετοῖς διὰ τὸ τὸν κυβερνήτην, καθὸ εἴρηται, ἀπολωλέναι. 317. καὶ τὸ ῥάχις δ' ἐξέδραμε γυίων ἀντὶ τοῦ ἐξῆλθον οἱ σπόνδυλοι τῆς ῥάχεως. Σημείωσαι δὲ ὅτι ἀπὸ τοῦ θηλυκοῦ, τῆς αἱμορροΐδος, εἰς ἀρσενικὸν ἀνήνεγκε τὸν λόγον.

320. Ἀλλ' ὅ μὲν εἶδει: καὶ γὰρ τῇ μὲν ὄψει τῷ αἱμορρόῳ ὅμοιόν ἐστιν, τῇ δὲ πορείᾳ διαλλάττει, παρ' ὅσον ἀντίον [τοῦ αἱμόρ-

---

2 Ἀπολλόδωρος O. Schneiderus p. 197 5 ὡς ἐπὶ KA 12 ἀναστρέφων G 17 τῇ αἱμορροΐδι A 18 τῆς ῥάχεως K 20 τὰς ῥάχας KA ἐχαλέψατο A 22 ἵλιγγας K 24 ἐκεῖνο K ἐκεῖνος P: καὶ γὰρ ἡ τῶν ὑδάτων συστροφὴ στροίβος λέγεται G 28 θῶνις γὰρ P θῶνος γὰρ K 31 ἀκάνθαις δὲ K ἄκανθαν P ἀκάνθον δὲ δεσμά A 38 τῷ αἱμορρόῳ A τῇ αἱμορρόῳ K 39 ὅμοι K ὁμοία A

ρου] πορεύεται καὶ οὐ σκολιῶς, καθάπερ ἐκεῖνός τε καὶ οἱ κεράσται. σηπεδὼν δὲ εἴρηται, ὅτι σήπει τῷ ὀδόντι τὰ σώματα.

322. ἔμπλην ἄμμορον: παρὰ Ἀρχιλόχῳ „ἔμπλην ἐμοῦ τε καὶ φίλου“ καὶ τὰ ἑξῆς· τὸ δὲ πλησίον παρὰ τῷ ποιητῇ (Il. B 526)

Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο.

ἐνταῦθα δὲ ἐπὶ τοῦ χωρὶς τακτέον. οὐ γὰρ τῷ ἐναντίως πορεύεσθαι διαλλάσσει ἐκείνων μόνον, ἀλλὰ καὶ τῷ κέρατα μὴ ἔχειν, τῶν προειρημένων ἐχόντων. Ἄλλως. τὸ σῶμα αὐτοῦ ἄμοιρον τῶν κεράτων. ἐκ παραλλήλου οὖν τὸ αὐτό φησι καὶ τὸ ἔμπλην, ἤγουν τὸ χωρίς, καὶ τὸ ἄμοιρον.

322. Ἡ δέ νυ χροιὴ οἵη περ δάπιδος: τοῦ λεγομένου τάπητος οὕτω, φησί, ποικίλη ἐστὶν ἡ χροιὰ αὐτοῦ καὶ δασεῖα. σαφὲς δὲ περὶ σηπεδόνος. τοῦ γὰρ τῆς δάπιδος χρώματος μὴ ὡρισμένου ὁμοιοῦται αὐτὴν τῇ σηπεδόνι κατὰ χροιάν. εἰ μὴ ἄρα πλεῖστον κόκκινα γίνονται· τοιοῦτον βούλεται δηλοῦν τὸ σῶμα αὐτοῦ, οἷον κόκκινον. λέγοι δ' ἂν περὶ τῆς δασείας δάπιδος, οὐ περὶ τῆς ψιλῆς, ἵνα ἅμα καὶ τὸ δασὺ αὐτοῦ σημαίνῃ.

[324. κράατι: καὶ τοῦ μετρίου μείζονα μὲν τὴν κεφαλὴν φορεῖ, ἀποδέουσαν δὲ τοῦ λοιποῦ σώματος G.]

325. σκολιήν: καὶ γὰρ τὸ ἄκρον τῆς οὐρᾶς μακρὸν ἔχει καὶ σκολιόν, εἰς σκολιόν τι ἀνατέταται, ὡς συγκαλύπτεσθαι τὸ μῆκος.

329. ὡς γήρεια: καὶ γὰρ γήρεια λέγεται ἡ τῶν κινάρων ἐξάνθησις· ἀκανθώδης γάρ ἐστι. τῶν δηχθέντων γάρ, φησιν, ὑπὸ σηπεδόνος αἱ τρίχες ἀπορρέουσι καὶ ἐκπίπτουσιν ἴσα κινάρων ἀκάνθαις καὶ ἐξανθήσεσι. τὸ δὲ καταψηχθέντος ἀντὶ τοῦ καταψηχθείσης καὶ ἀποτιναχθείσης. κέχρηται δὲ τούτῳ τῷ σχήματι πολλάκις. Θεόφραστος δὲ ἀρσενικῶς εἶπε τὸν ἄκανθον. 332. ἀλφοὶ δὲ καὶ λευκαὶ καὶ ἔφηλις εἴδη εἰσὶ νόσων. καί φησιν οὕτως· ἡ ἔφηλις μὲν ἡ ἐπὶ τοῦ σώματος γινομένη σπίλος, ἀλφοὶ δὲ καὶ λεῦκαι ἐφήλιδός εἰσιν εἰς παρασκευήν. ἡ δὲ ἔφηλις ἑτεροίωσίς ἐστι τῆς ἐπιφανείας.

---

2 σήπει G σήπτει KP τῷ ὀδόντι K τῶν δακέντων A τῶν δηχθέντων GL σώματα: ~ παρὰ ἀρχιλόχῳ. ἔμπλην ἄμμορον: ἔμπλην K: ἔμπλην ἄμμορον. παρὰ ἀρχιλόχῳ ἔμπλην ἀντὶ τοῦ χωρίς. οἷον ἔμπλην ἐμοῦ τε καὶ ἐφόλου. παρὰ δὲ τῷ ποιητῇ ἀντὶ τοῦ πλησίον A 4 καὶ φόλου P κήφ' ὅλου coniecit Bussemakerus 7 ἐκείνων μόνον A ἐκεῖνο K 14 ὁμοιοῖ αὐτῇ τὴν σηπεδόνα G 16 λέγοι — σημαίνῃ PG. in K quae post λεγ sequuntur extrita sunt 23 ὑπὸ σηπεδόνος: ~ περὶ διψάδος αἱ τρίχες K 25 καταψηχθέντος ἀντὶ τοῦ καταψηχθείσης PG καταψυχθέντος ἀντὶ τοῦ καταψυχθείσης KA 28 νόσων. ἔφηλις καί φησιν οὕτως ἡ ἔφηλις K: νόσων. ἡ μὲν οὖν ἔφηλίς ἐστιν ὁ ἐπὶ τοῦ σώματος γινόμενος σπίλος A 29 σπίλος P σπι$^{\lambda}$ K σπίνη G ἀλφοὶ δὲ καὶ λεῦκαι ἐφήλιδος I. G. Schneiderus ἀλφοὶ καὶ λεῦκοι ἐφήλιες K: καὶ ἐφήλιδες P. ἤ, ὡς τινες, αἱ μὲν λεῦκαι καὶ οἱ ἀλφοὶ προπαρασκευάζουσι τὸ πάθος. ἡ δὲ ἔφηλις αὐτὴ οἱ ἑτεροίωσις τῆς ἐπιφανείας ἐστίν. ἔοικε δὲ ταύτη καὶ Νίκανδρος ἐνταῦθα νοεῖν A

cf. Schneider Gemoll.

334. *ναὶ μὴν διψάδος*: εἶδός τι καὶ τὴν διψάδα φησὶν ὄφεων, ἣν καὶ κεντρίνην καλοῦσιν, ἐπεὶ εἰς ὀξὺ τὴν ὄψιν ἀπὸ ὀλίγου μέρους ἔχει κατηγμένην, ὡς δοκεῖν κέντρον εἶναι. ἔχει δὲ παχὺν τὸν τράχηλον καὶ πλατεῖαν τὴν κεφαλὴν καὶ τὴν οὐρὰν κατακόρως μέλαιναν.

336. *οἷσιν ἐνισκήψῃ βλοσυρόν*: γράφεται καὶ ἐνιχρίμψῃ, ἤτοι ἐμπέσῃ τὸ καταπληκτικὸν θηρίον ἢ ἐπιβάλῃ.

338. *ἀμφὶ δὲ κάσῳ*: γράφεται γὰρ καὶ κάσος. καὶ καῦσος ἐπέρχεται καὶ εἴωθεν ἐπακολουθεῖν τοῖς ὑπὸ διψάδος πληγεῖσιν, ἤγουν δηχθεῖσιν.

341. *χανδόν*: ἀντὶ τοῦ πολὺ καὶ ἀθρόον ἢ κεχηνότως, ὡς ὁ ποιητής (Od. Φ 294)

ὅς ἄν μιν χανδὸν ἕλῃ μηδ' αἴσιμα πίνῃ.

πολλῆς δ' ἐμφάσεως καὶ σεμνότητος γέμει ὁ λόγος. φησὶ γὰρ ὅτι πληγείς τις καὶ δηχθεὶς ὑπὸ τῆς διψάδος ἴσα ταύρῳ διψῶντι καὶ ἀθρόως ἐν ποταμῷ πίνοντι προσέοικεν, ἐπὶ τοσούτῳ δὲ πίνει, ἕως διαρραγείη τὴν γαστέρα ὑπὲρ μέτρον πλησθείς.

343. *Ὠγύγιος*: βούλεται εἰπεῖν ἀπὸ μύθου τὸ εἶναι ἀργὰς τὰς διψάδας ἐν πορείᾳ. οἱ ἄνθρωποι, φησί, ποτε παρεκάλεσαν τοὺς θεοὺς δοθῆναι αὐτοῖς νεότητα πρὸς τὸ μηδέποτε γηρᾶν αὐτούς. λαβόντες οὖν, φησι, δεδώκασιν ὄνῳ βαστάζειν. ὁ δὲ δίψει συνεχόμενος ἦλθεν εἴς τινα τόπον ὕδωρ ἔχοντα, ἐν ᾧ ὄφις ὑπῆρχε φυλάττων. καὶ δή, φησι, βουλόμενον πιεῖν τὸν ὄνον ὁ ὄφις ἐκώλυσε φήσας, ἐὰν δῷς μοι ἃ βαστάζεις, συγχωρῶ πιεῖν σε. ὁ δὲ ὄνος ὑπὸ τῆς δίψης συνεχόμενος δέδωκεν αὐτῷ ἃ ἐβάσταζε, τουτέστι τὴν νεότητα· ἀφ' οὗ χρόνου οἱ μὲν ὄφεις ἀποβάλλουσιν, οἱ δὲ ἄνθρωποι ὑπὸ τοῦ γήρως καταπονοῦνται. ὁ οὖν ὄφις δεξάμενος ἀπὸ τοῦ ὄνου τὸ δῶρον τῶν θεῶν ἀργότερος ὑπάρχει περὶ τὴν πορείαν καὶ τὸ δῆγμα, ἀνέλαβε δὲ καὶ τὴν τοῦ ὄνου δίψαν· ὅθεν καὶ τοῖς δακνομένοις ὑπ' αὐτοῦ δίψαν ἐμποιεῖ. Ἄλλως. ὁ μῦθος οὗτος Προμήθειός ἐστι. Προμηθέα τὸ πῦρ κλέψαντα καὶ τοῖς ἀνθρώποις δωρησάμενον οἱ λαβόντες ἐμήνυσαν οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν· ἐφ' οἷς τὸν Δία φησὶν ἐπαινέσαντα φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι· τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρηθὲν ἐπὶ ὄνου· τὸν δὲ δίψει τειρόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὄφις, καὶ τοῦ ποτοῦ ὀρεγόμενος ἀπέδοτο τοῦ γήρως τὸ φάρμακον· διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν ἀποδυομένους τὸ

---

1 ναὶ — καλοῦσιν A: ἐπιφανείας . . . καὶ τὴν διψάδα κεντρίναν καλεῖσθαι K, in quo quae interposita sunt extrita erant 2 κεντρίνην G κεντρίναν A 3 παχὺν Bentleius ex mss. πλατὺν KA 6 οἷσιν ἐνισκίμψῃ G 8 ἀμφὶ δὲ καύσῳ. γράφεται καὶ κάσσῳ A ἀμφὶ δὲ κάσσῳ. γράφεται καὶ κάσσος P 9 ἐπέρχεται καὶ εἴωθεν G ἐπέρχεται ὡς εἴωθεν K 13 μιν A ε μ K 18 τοῦ εἶναι KP 23 ὄνον A ἄνον K μοι om. K, add. A 24 συγχωρεῖ K 27 τῶν θεῶν G τοῦ θεοῦ KA 30 προμήθειός ἐστι P προμ ϑ ἐστι K 31 ὁ ὄφις KA: ὁ om. G

γῆρας, τὸν δὲ ὄφιν τὸν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος· ὅθεν τοῖς δηχθεῖσιν ἐμποιεῖ δίψαν. ἔστι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν Κωφοῖς. — Ὠγύγιος δὲ ἀπὸ Ὠγύγου τινός, τουτέστιν ἀρχαῖος καὶ παλαιός. 347. ἔνιπτον δὲ ἀντὶ τοῦ διεβάλλοντο, ἐλοιδοροῦντο τῷ Προμηθεῖ ὅτι μὴ ἀεὶ αὐτοὺς νέους ἐποίησεν.

348 ἄφρονες: οἱ ἄνθρωποι ὀκνηροὶ ὄντες ἐπρεσβεύοντο δι' ὄνου περὶ τῶν ἀναγκαίων. ἐβλάβησαν δὲ ὑπὸ τῆς ἀβουλίας. τοῦτο γὰρ σημαίνει τὸ κακοφραδίης.

349. ἀμορβεύοντο: ἀντὶ τοῦ διηκονοῦντο, ἐθεραπεύοντο, ἐφέροντο ἐπὶ ὄνῳ διὰ τὸ ὀκνηρὸν αὐτῶν. ἀμορβεύειν γὰρ τὸ ἀκολουθεῖν καὶ ὑπηρετεῖν· Νίκανδρος ἐν ἑτέρῳ

βουκαῖοι ζεύγεσσιν ἀμορβεύουσιν ὀρήων·

καὶ Καλλίμαχος (hymn. in Dian. 45)

οὔνεκ οὐ Λητοίδι πέμπον ἀμορβούς.

τὸ δὲ ἑξῆς, τῷ λεπάργῳ τὰ δῶρα δόντες ἠκολούθουν. δῶρα δὲ τὴν νεότητα καὶ λεπάργῳ τῷ ὄνῳ παρὰ τὸ ἔχειν τὴν λαγόνα λευκήν. εἰς τὸ δῶρα προσυπακουστέον τὸ δόντες, ἐπὶ τὸ βαστάσαι δηλονότι. 351. ὁλκήρεα δὲ θῆρα τὸν ὁλκὴν ἔχοντα, ἤγουν ἐπιμήκη. 354. ἄφρονα τὸν ὄνον λέγει ἐκ τοιαύτης περιπετείας. δῶρον δὲ τὴν νεότητα, ἣν ἐπ' ὄνου ἔφερον μὴ δυνάμενοι αὐτὴν βαστάσαι διὰ τὸ ὀκνηρόν. 355. γηραλέον δὲ φλόον τὸ σύφαρ λέγει. διὰ δὴ τὸν προκείμενον λόγον τὰ μὲν ἑρπετὰ τὸ γῆρας ἀποβάλλει καὶ ἀεὶ σχεδὸν ἐν νεότητι διατελεῖ, οἱ δὲ ἄνθρωποι γηρῶντες φθείρονται.

357. νοῦσον δ' ἀργαλέην: τὴν δίψαν φησί, ὡς πολλάκις, ἢ τὸ νωθὲς καὶ βραδὺ τοῦ ὄνου τοῦ βρωμήτορος, ἤγουν τοῦ ὀγκηστικοῦ παρὰ τὸ βρωμᾶσθαι.

359. νῦν δ' ἄγε χερσύδροιο: ὁ πρότερον ὕδρος καλούμενος, ὃς ὕστερον χέρσυδρος διὰ τὴν προειρημένην αἰτίαν ἐκλήθη.

360. ἰσαίας: ἴσας, ὁμοίας καὶ ὅτι κατὰ μέγεθος ἴσαι εἰσὶν ὅ

---

2 ὁ μῦθος ἱστορικός G 3 ἀπὸ γύγου K 5 ἐποίησεν εἶναι G 6 οἱ ἄνθρωποι ὀκνηροὶ ὄντες ὄνῳ τὰ ἀναγκαιότατα ἐπέθηκαν. ἐβλάβησαν δὲ ὑπὸ τῆς ἀβουλίας. κακοφραδία γὰρ ἡ ἀβουλία. τὸ δὲ οὐκ ἀπόναντο ταὐτόν ἐστι τῷ ἐβλάβησαν A 7 ἐβλάβησαν δὲ ὑπὸ τῆς ἀβουλίας om. K 10 φέροντες ἐπὶ ὄνῳ P 11 Νίκανδρος ἐν ἑτέρῳ, βουκαῖοι ζυγέεσσιν ἀμορβεύουσιν ὀρήων. καὶ Καλλίμαχος A νίκανδρος βουκαῖοι ζυγέεσσιν ἀμορβεύουσιν ὀρήων ἐν ἑτέρῳ δ' εἶπε καὶ καλλίμαχος P: ἐν ἑτέρῳ — Καλλίμαχος om. KVR. Nicandri versum ad georgica rettulit O. Schneiderus p. 120: ἐν ἑτεροιουμένοις coniecerat Bernhardyus hist. litt. Graec. II p. 1042 12 ζεύγεσσιν edidit I. G. Schneiderus 14 οὔνεκα θυγατέρας Λητωίδι πέμπεν ἀμορβούς ex libris Callimachi edidit Bussemakerus

π

λητοίδη AV πέμπον A πεμ K πέμπτον PV πέμπεν edidit I. G. Schneiderus 24 καὶ πολλάκις K 25 τοῦ βρωμήτορος ἤγουν A, om. KP ὀγκηστικοῦ I. G. Schneiderus ὀγκιστικοῦ G. ὀγκηστρικοῦ KP ὀγκαστικοῦ A 27 ὁ πρότερον — ἐκλήθη KP ὁ χέρσυδρος ὕδρος πρότερον καλούμενος, ὕστερον δὲ διὰ τὸ ἀνταλλάξασθαι τὰς ἐν τῇ χέρσῳ διατριβὰς χέρσυδρος ἐκλήθη G

τε χέρσυδρος καὶ ἡ ἀσπίς. σήμαθ' ὁμαρτεῖ: σημειά, φησι, χαλεπὰ τοῖς δηχθεῖσιν ἀκολουθεῖ, ἃ ἐν τοῖς ἑξῆς εἰρήσεται.

361. πᾶσα γάρ: πᾶσα ἡ περὶ τὴν σάρκα ῥινός, τουτέστιν ἡ δορά, δυσώδης ἀναδιδομένη καὶ ἀναπλουμένη, μυσαχθὴς οὖσα καὶ δυσώδης. 362 μυδόεν τεκμήρατο νύγμα: γράφεται καὶ δῆγμα· τὸ γὰρ μυδόεν, ὅ ἐστι δίυγρον, ἐποίησε τὸ δῆγμα καὶ σεσηπός. Ἄλλως. ῥινὸς περὶ σάρκα ἤτοι περὶ τὴν σάρκα ἡ ῥινὸς μυσαχθής, ἀντὶ τοῦ δυσαχθὴς καὶ μυσαρά, ἤτοι ὅτι τοῦ δηχθέντος ἡ σαρξ γίνεται πάνυ δυσώδης. 362. πιτνομένη δὲ ἀντὶ τοῦ ἐκτεινομένη ἢ ἐξαπλουμένη ἢ ῥηγνυομένη καὶ ἐκ τούτου ἀλγήματα παρέχουσα. νειόθι ἀντὶ τοῦ κάτωθεν, ὡς ἀπὸ σηπεδόνος ὑδατῶδες καὶ δίυγρον ἐποίησε τὸ δῆγμα.

366. Βροχθώδεϊ: ἢ ἀνύδρῳ ἢ ξηρᾷ· ἔνθεν καὶ βρόχθος. ἢ κοίλῃ ἢ ὀλίγον ὕδωρ ἐχούσῃ. 367. ἄσπειστον δὲ ἤτοι χαλεπὸν καὶ ἄσπονδον καὶ ἄστοργον παρὰ τὸ μὴ σπείσασθαι φιλίαν πρὸς ἀλλήλους. 368. καὶ σείριος νῦν ὁ ἥλιος, ἀντὶ τοῦ ἕως ἂν ξηραίνῃ ὁ ἥλιος.

368. τρύγη δ' ἐνὶ πυθμένι λίμνης: ἵνα ᾖ ἐλλεῖπον τὸ μίμνειν. καὶ γίνεται ἀντὶ τοῦ τρυγητοῦ, τουτέστιν ἡ ξηρασία τῆς λίμνης.

371. ποιφύγδην: ἐνθουσιαστικῶς ἢ φυσητικῶς μεθ' ὁρμῆς ἐκφοβῶν. τότε γὰρ καὶ τὴν γλῶσσαν προβάλλει ὁ χέρσυδρος. εἰσὶ γὰρ χέρσυδροι οἵτινες δύο γλώσσας ἔχουσιν, οὓς Ἀριστείδης λίχνους εἶναί φησιν. ὄγμους δὲ ἤτοι ὁδοὺς ἢ τὰς ἐγχαράξεις τῆς γῆς. [γράφεται ἀγμοὺς ἀντὶ τοῦ αἰγιαλούς g].

372. τὸν δὲ μετ' ἀμφίσβαιναν: ἡ ἀμφίσβαινα ὄφις ἐστὶ μικρὰ καὶ νωχελής, ἐξ ἑκατέρου μέρους ἔχουσα κεφαλάς, ἀμβλυωποῦσα δὲ διὰ τὴν παχύτητα τῶν γενείων· κατὰ δὲ τὴν χροιὰν γεώδης ἐστί, μικραῖς ποικιλλομένη στιγμαῖς. τοῦτον δὲ τὸν ὄφιν οἱ περιτυχόντες ὑλοτόμοι ἐπὰν κτείνωσι, τὴν δορὰν περιτιθέντες βακτηρίᾳ ξηραίνουσι, καὶ πρός γε τοὺς κόπους καὶ τὰς ἐκ ψύχους νάρκας ἔχουσι βοήθημα. 373. ἀμφικάρηνον δὲ τὴν ἀμφοτέρωθεν κεφαλὰς ἔχουσαν. καὶ ὀλίζωνα ἀντὶ τοῦ μικροφυῆ, μικράν, βραδεῖαν.

374. ἀμβλύ: οὐκ ὀξύ, ἀλλ' ἀμβλύ, οἷον στρογγυλοειδὲς καὶ

---

3 περὶ τὴν σάρκα ῥινός G περὶ τὴν σάρκα καὶ ῥῖνα σάρξ K περὶ τὴν ῥῖνα σάρξ A 4 καὶ ἡ πλωμένη τοῦτο γὰρ τὸ πιτναμένη A: καὶ ἄνω ἁπλουμένη G 5 τεκμήρατο G τεκμήραντο P τεκμήροντο K 7 περὶ τὴν σάρκα τῆς ῥινός KP 10 παρέχουσα: περὶ χερσύδρου ἄλλως: νειόθι KP 13 ἀνύγρῳ P ξηρᾷ A ξηρῷ K ἔνθεν καὶ τὸ βρόγχθος P 17 ἐν δὲ τῷ τρύγη δ' ἐνὶ πυθμένι λείπει τὸ μίμνη. ἵν' ᾖ, ὅταν ἡ τρύγη μίμνῃ ἐν τῷ πυθμένι τῆς λίμνης, καὶ γίνεται ἀπὸ τοῦ τρυγητοῦ A 18 καὶ γίνηται ἀντὶ τοῦ τρύγη I. G. Schneiderus ἀντὶ P ἀπὸ K 22 ἔχουσιν P ἔχοντες K λύχνους P 25 τὸν δὲ μετ' ἀμφίσβαιναν A περὶ ἀμφισβαίνης: μετ' ἀμφίσβαιναν K 28 μακραῖς G 30 ἐκ ψύχους P ἐμψύχους KG 33 στρογγυλοειδὲς KG τρωγλοειδὲς PA

ἀμβλυωπὸν ἐξ ἑκατέρων τῶν κεφαλῶν. γένειον δὲ ἀντὶ τοῦ ἡ γένυς, ἡ σιαγών. 375. τὸ δὲ ἠύτε γαίης, ὅτι γεῶδές ἐστι τὸ χρῶμα.

376. περιστιγές: ἐὰν μὲν ἔχῃ οὕτως, περιστιγές, ἔσται τὸ ποικίλον δηλούμενον· ἐὰν δέ, ὡς ἔνιοι γράφουσι, περιστιβές, ἀντὶ τοῦ πεπιλημένον, ἀπὸ τοῦ πατεῖσθαι. καὶ ὁ κναφεὺς ἀπὸ τούτου καὶ στιβεὺς καλεῖται. διὰ δὲ τοῦ πεπιλημένου δηλωθήσεται τὸ στερεόδερμον τοῦ θηρίου. 377. βατῆρα δὲ τὴν βακτηρίαν κατὰ ἀφαίρεσιν τοῦ κ. καὶ Ἡρώδης ὁμοίως ὁ ἡμιαμβικὸς ἐν τῷ ἐπιγραφομένῳ Ὕπνῳ

φεύγωμεν ἐκ προσώπου
μή σ' ἐκπερῶν ὁ πρέσβυς
οὐλῇ κατ' εὐθὺ*
βατηρίῃ καλύψῃ.

ἡ δὲ σύνταξις οὕτως, κόψαντες ῥάδικα πολυστεφέος κοτίνοιο οἷά τινα βακτηρίαν, τουτέστι τοσοῦτον τῷ μήκει ῥάδικα ὅσον βακτηρίαν. τινές φασιν οἷον βοτῆρα, τουτέστι ποιμένα, ῥάβδον μεθ' ἧς βόσκουσι. Δημήτριος δὲ ὁ Χλωρὸς βοτῆρα γράφει τὴν βακτηρίαν, ἐπεὶ τὰ βοτὰ ἐλαύνει. Ἀντίγονος δὲ καὶ βατῆρα. ὅτι δέ, φησιν, ἐκδείραντες τὴν ἀμφίσβαιναν τιθέασιν ἐν ῥάβδῳ τὸ δέρμα αὐτῆς, ὅταν ἐξέρχωνται ἐπὶ ἔργον, ἐν ἐκείνῳ διατρίβουσι τὰς χεῖρας καὶ θερμαίνονται. φασὶ δὲ μήτε ξύλῳ μήτε ἑτέρῳ τινὶ ἀναιρεῖσθαι τὸ ζῷον εἰ μὴ ἀμπέλῳ. Νίκανδρος δὲ ἐν τῷ Ὀφιακῷ φησι Διόνυσον ἐμμανὴ γενόμενον ὑπὸ τῆς Ἥρας ὑπνῶσαι, τὴν δὲ ἀμφίσβαιναν πεδῆσαι αὐτοῦ τὰ σκέλη· τὸν δὲ ἀναστάντα καὶ πλήξαντα τῷ κλήματι ἀποκτεῖναι· ὅθεν καὶ ἔκπαλαι καὶ νῦν κλήματι τελευτᾷ.

380. πρόσθε βοῆς τέττιγος: γράφεται καὶ κόκκυγος· πρὸ τοῦ ἔαρος, ἤγουν ἐν τῷ χειμῶνι, πρὶν τὸν κόκκυγα ἐπιφανῆναι

1 ἀμβλυωπι/ K (fortasse ἀμβλυωπικόν) ἀμβλυώτων P ἀμβλυωπητικὸν A 2 γαιῶδες K 5 ἀπὸ τοῦ πατεῖσθαι G ἀντὶ τοῦ πατεῖσθαι K ἀπὸ τοῦ στείβεσθαι ἤγουν πατεῖσθαι coniecit I. G. Schneiderus 8 καὶ ἡρώδης GL καὶ ἡρώ K καὶ ἡρωδιανὸς V καὶ ὁρῶ P; Herodis nomen om. A. de versibus Herodis dixit Schneidewinus Mus. Rhen. novis. V p. 292 sqq. ὁ ἡμίαμβος KPG καὶ ἡμίαμβος V ἐν ἡμιάμβοις AL, unde ἐν μιμιάμβοις coniecerat Bernhardyus hist. litt. Graec. II p. 383 ἐπιγραφομένῳ KV ὑπογραφομένῳ PA περιγραφομένῳ GL 9 ὕπνῳ KA ὕανῳ V 10 φεύγωμεν KL φύγωμεν A φεύγων μὲν V 11 ἐκπερῶν KGLV ἐκ περσῶν P ἐμπεσὼν A ὁ πρέσβυς Toupius emend. in Snid. III p. 303: ὁ om. codices 12 οὐλὴν coniecit Bergkius apud Schneidewinum delect. p. 234 κατιθὺ V κατ' εὐθὺ κρατὸς coniecit Toupius l. c. 13 κολάψῃ coniecit I. G. Schneiderus χαλέψῃ Toupius l. c. σκολύψῃ Bergkius l. c. 14 ἡ δὲ σύνταξις A ἡ συντομὴ K 16 βοτῆρα ἢ ποιμενικὴν ῥάβδον A 18 ἀντίγονος δὲ βατῆρα, παρὰ τὴν βάσιν τηρεῖν A τὴν ἀμφίσβαιναν δέ φασιν ἐκδείραντες, καὶ περιθέντες τὸ δέρμα αὐτῆς τῇ ῥάβδῳ, ὅταν ἐξέρχωνται — ἀμπέλῳ. καὶ αὐτὸς δὲ ὁ Νίκανδρος A, unde supplevi scripturam codicis K, in quo αὐτῆς — ἐν et ξύλῳ — ἀμπέλῳ extrita sunt. 22 ἐν τῷ ὀφιακῷ KPVA ἐν τοῖς ὀφιακοῖς GL 24 αὐτὴν ἀποκτεῖναι ὅθεν ἔτι καὶ νῦν G 27 ἐπιφανῆναι ἢ τὸν τέττιγα GL ἐπιφάναι ἤτοι τέττιγα K

ἢ τὸν τέττιγα. ἑαρτέρου δὲ ἐαρινοῦ. συγκριτικὸν γὰρ τέθεικεν ἀνθ' ἁπλοῦ.

382. μάλκαι: τὴν μάλκην φησὶ Νίκανδρος ἐν Γλώσσαις ῥῖγος περὶ τοὺς πόδας καὶ χεῖρας, καὶ ὑποδείγματα τίθησιν

πνεύματος ἀργαλέοιο πόνοιό τε μαλκίοντος.

Δημήτριος δὲ διασπᾶσθαι διὰ τὸ ῥῖγος. ἡμῖν δ' ἀρέσκει νῦν μαλκᾶν ναρκᾶν, δι' οὗ τὸ ψῦχος σημαίνει. καὶ γὰρ αὐτὸς Νίκανδρος ὁτὲ μὲν ἐπὶ ψύχους ὁτὲ δὲ ἐπὶ τοῦ ναρκᾶν κέχρηται· καὶ ἐπὶ μὲν τοῦ ψύχους ἐν τῇ Σικελίᾳ τὸν τρόπον τόνδε,

ὄμβρῳ τε κρυμῷ τε δέμας θ' ὅτε δάμνατο μαλκόν·

ἐπὶ δὲ τοῦ ναρκᾶν μόνον ἐν τοῖς Κιμμερίοις εἶπεν. Ἄλλως. μάλκαι: μαλακίαι, δυσκινησίαι διὰ τὸ κρύος. καθ' ὑπερβολὴν δὲ λέγει. οἱ δὲ μάλκας τὰ χίμετλα, ἤγουν τὰς ῥήξεις τῶν χειρῶν καὶ τῶν ποδῶν.

383. Ξανάᾳ: θερμαίνει. τὰ ἐκ τοῦ ξαίνειν γενόμενα ταῖς γυναιξὶ πάθη ἐν χειμῶνι ξανάα λέγεται, ὅτε τὰ ἄκρα τῶν δακτύλων δυσκίνητα ἔχωσιν αἱ γυναῖκες. ἐπιτήδειόν φησιν τὸ τῆς ἀμφισβαίνης δέρμα εἰς ἴασιν τῆς δυσκινησίας. ξανάᾳ οὖν ἀντὶ τοῦ ἐπιτείνεται.

386. σμινύοιο: .σιδήρεόν τι κατὰ μὲν τὸ ἕτερον δικέλλης ὀδόντι παραπλήσιον, κατὰ δὲ τὸ ἄλλο ἀξίνης ᾗ σκάπτουσι καὶ ξύλα κλῶσιν.

387. τῆς δ' ἕλμινθος πέλει: τῆς δὲ ἀμφισβαίνης, φησί, τὸ σῶμα λεπτὸν ὡς ἕλμινθος. καὶ γὰρ ἡ ἕλμις λεπτή ἐστιν, ᾗ παρείκασε τὰ λεγόμενα γῆς ἔντερα.

389. ῥωγάδα: κεχαραγμένην, τουτέστι τὸν φωλεόν. οὐ γὰρ αὕτη ἡ σκυτάλη γεύεται μαλάθρου, ὡς οἱ ἄλλοι, ὅταν, φησίν, ὑπὸ τοῦ ἡλίου τὸν περὶ τὰ μέλη φλοῦν ἀποβάλλῃ, τουτέστι τὸ γῆρας. Τὰ γὰρ ἄλλα ἑρπετὰ παραυτίκα ἐξιόντα ἐκ τῶν φωλεῶν ὁρμᾷ ἐπὶ τὴν μάλαθρον διὰ τὸ ἀμβλυωπεῖν, ἧς ἀποτρώγοντα ὀξυδερκέστερα γίνεται καὶ

---

4 ὑποδείγματα τίθησι V ὑποδείγμᾶτα ὑποτίθησι K ὑποδήματα τίθησι ediderat I. G. Schneiderus 5 μαρκίοντα K ναρκίοντα V μαλκείοντα A μαλκείοντες edidit I. G. Schneiderus μαλκίοντες voluit Cobetus var. lect. p. 131 6 διασπᾶσθαι (διεσπᾶσθαι K) διὰ τὸ ῥῖγος KP διὰ τὸ ἐπισπᾶσθαι διὰ τὸ ῥῖγος V τὸν ὑπὸ τοῦ ῥίγους διασπασμόν I. G. Schneiderus μαλκᾶν ναρκᾶν V ναρκᾶν ναρκᾶν K μάλκαι νάρκαι ediderunt Schneiderus et Bussemakerus 10 δέμας τότε δάμνατο Lobeckius rhem. p. 205 δέμας θ' ὅτε δάμνατο O. Schneiderus p. 32 δέσμαθ' ὅτ' ἐδάμνοντο K δέσμαθ' ὅτε θάμναντο V δέματ' ὅτε δάμνατο G δέματ' ὅτε δάμνονται P μαλκόν O. Schneiderus l. c. μᾶλλον codices 11 ἐπὶ δὲ τοῦ A εἰ δὲ ἐπὶ τοῦ KPV κιμμερίοις KGLV κιμφίοις PA 12 μαλακίαι δυσκινησίας P μαλκίαι δυσκινησίας K μαλκίαι δυσκενησίαι V μαλακίαι καὶ δυσκινησίαι A καθ' om. K: διὰ τὴν τοῦ κρύους ὑπερβολήν. ἢ τὰ χίμετλα A 18 ἴασιν Bussemakerus τάσιν KPG ἀποτείνεται K ἀποτείνηται P 19 σιδήρεόν τι GL om. KPA 20 ᾗ KP ᾧ GL 27 ἀποβάλλῃ A ἀποβάλειε K 29 ἀποτρώγοντα ὀξυδερκέστερα A ἀποτρώγουσα ὀξυέστερα K

ὀξυωπέστερα, καθ' ὃν καιρὸν καὶ τὸν φλοῦν, τουτέστι τὸ γῆρας, ἀποβάλλει, παρατριβόμενα κατὰ τὴν ἔξοδον ἐν ταῖς χειαῖς.

393. *Ἀλλ' ἤγ' ἀρπέξαις*: ἅρπεξα τὸ κάτω καὶ ἔσχατον τοῦ ὄρους. ἤγουν ἡ πέξα τοῦ ὄρους, οἱονεὶ ὀρόπεξα. *νεμέεσσι δὲ τοῖς πρὸς νομὴν ἐπιτηδείοις.*

394. *ἀπ' εἰκαίης δὲ βοτεῖται*: γράφεται καὶ *φορεῖται*, τουτέστιν ἀπὸ τῆς εὐτελοῦς καὶ τῆς τυχούσης γῆς τρέφεται ἢ ἐμφορεῖται. 396. *τὸ δὲ ἀλέξεται* γράφεται καὶ *ἀλεύεται*, οὐδ' ἀπαλεύεται καὶ ἰᾶται τὸ δίψος αὐτῆς καὶ προθυμουμένης πιεῖν.

[396. *τεκμαίρου*: γίγνωσκε, μάνθανε τὸν βασιλίσκον, ὀλίγον μὲν τῇ κακίᾳ, ἐξοχώτατον δὲ τῇ δυνάμει τῶν ἄλλων ἑρπετῶν G.]

398. *ἐπὶ τρία δῶρα*: ἤγουν παλαιστάς. δῶρον γὰρ ἡ παλαιστή. *Ἐπὶ τρία δῶρα*: τὸ πλάτος, οἷον μῆκος, φέρων τριπάλαιστον. *Μῆκος δὲ καὶ ἰθὺν ἐκ παραλλήλου τὸ αὐτό*, ἤγουν μῆκος.

399. *σπειραχθέα*: τὰ ἀπὸ τῆς σπείρας βαρυνόμενα. τὰ γὰρ μεγάλα ἑρπετὰ διὰ τὸ βάρος τῆς οὐρᾶς σπειραχθέα καλεῖται διὰ τὸ ὡς ἄχθος καὶ βάρος ἔχειν τὴν οὐράν. 400. *ἰυγὴ δὲ φωνή τίς ἐστι, βοὴ ἀδιάρθρωτος ἀπὸ τοῦ συμβαίνοντος πεποιημένη. καὶ Ἐρατοσθένης ἐν ἀντεριννύι περὶ κυνὸς λέγων εἶπεν*

ἰυγῆς δ' ὡς παῦρον ἐπέκλυεν.

ὅτ' ἐς νομόν: ἐς τὸν νομὸν καὶ τὴν ὕλην καὶ τὸν ἀρθηθμὸν τὸ μεσημβρινὸν αἴξαντος οὐκέτι τὰ σπειραχθέα κνώδαλα τούτου τὴν ἰυγὴν μίμνουσιν. *Ἄλλως.* 401. *μεσημβρινὸν αἴξαντος*: ἤτοι τοῦ νομοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἀρθηθμοῦ μείρονται· ἢ λείπει τὸ ὁρμῶσιν, ἵν' ᾖ ὅτ' ἐς τὸν νομὸν καὶ τὴν ὕλην ὁρμῶσιν ἢ καὶ ἀρθηθμοῦ μείρονται, οὐκέτι τὴν ἰυγὴν ἐκείνου μίμνουσι τὸ μεσημβρινὸν αἴξαντος.

405. *Οὐ δέ τις οὐδ' οἰωνός*: ἤτοι οὐδείς, φησι, τῶν οἰωνῶν τῷ σώματι τῷ ὑπὸ βασιλίσκου δηχθέντι προσελθεῖν δυνήσεται πρὸς τὸ θοινηθῆναι. *Ἄλλως. πάντες οἰωνοὶ φεύγουσι τὸ σῶμα τοῦ δηχθέντος ὑπὸ τοῦ βασιλίσκου καὶ οὐδεὶς αὐτῶν πρόσεισιν εἰς τὸ θοινηθῆναι τὸν νεκρόν. ἀπείργει γὰρ ἡ ἐξ αὐτοῦ δυσωδία πάντας τοὺς οἰωνοὺς θανατικὴ οὖσα.*

---

2 *παρατριβόμενα* A *παρατριβομένη* K *περιτριβόμενα* PG *ἐπὶ ταῖς χειαῖς* PG 8 *γράφεται καὶ ἐνθέτως οὐδ' ἀπαλεύεται* P: *γράφεται καὶ ἀλεύεται ἐπὶ ἐνεστῶτος, ἵν' ᾖ οὐδ' ἀπαλεύεται καὶ ἐκκλίνει καὶ ἰᾶται τὴν δίψαν αὐτῆς καίπερ προθυμουμένη πιεῖν* A 13 *φέρων* PG 18 *ἐν ἀντεριννύι* P *ἐν ἀντεριννύι* G *νῦν ἀντεριννύι* K *ἐν ἐριννύι* A *ἐν Ἠριγόνῃ* coniecerunt I. G. Schneiderus et Bernhardyus Eratosthen. p. 157 20 *δὲ ὡς* KG *ὡς* A *ἐπέκλυεν* Bernhardyus l. c. *ἀπέκλυεν* PA *ἀπέκλινεν* K *ἐπέκλυον* GL 21 *τὸ μεσημβρινὸν* A *τὸν μεσημβρινὸν* K 22 *τούτων τὴν ἰυγὴν* K *τὴν ἰυγὴν τούτου* A 23 *ἤτοι* K *ὅτε* PA: *ὅτε τοῦ νομοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἀρθηθμοῦ μείρονται ἀντὶ τοῦ ἱμείρονται οὐ μίμνουσι τὴν ἰυγὴν ἐκείνου. ὅτ' ἐς νομὸν καὶ ὕλην· λείπει τὸ ὁρμῶσιν· ὅτε ἐς νομοὺς καὶ εἰς ὕλην καὶ εἰς ἀρθηθμὸν τὸ μεσημβρινὸν αἴξαντος* G 25 *ἵν' ᾖ — μίμνουσι* A, om KP

406. *Κόραξ τ' ὀμβρήρεα*: ὅτι χειμῶνα δηλοῦσιν οἱ κόρακες καὶ ὁ Ἄρατος μαρτυρεῖ λέγων (Phaen. 963 sq.)

δήποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν
ὕδατος ἐρχομένοιο Διὸς περὶ σῆμ' ἐγένοντο,

καὶ Εὐφορίων ὁμοίως

ὑετόμαντις ὅτε κρώξειε κορώνη.

409. *Εἰ δ' ὀλοή*: εἰ δέ τι τῶν ὀρνέων ὑπερβαλλούσῃ λιμώξει κατεχόμενον προσέλθῃ τῷ σώματι, αὐτόθεν ἀπόλλυται. 410. *Τὸ δὲ αὐτόθεν ἀντὶ τοῦ αὐτόσε. τὸ γὰρ αὐτόθι ἐπὶ τόπου.*

411. *Πιφάσκεο*: ἄκουε δὴ καὶ περὶ δρυΐνου, ὃν ἕτεροι χέλυδρον ὀνομάζουσιν. ἔστι δὲ ὄφις ὁ δρυΐνας ὃς ἐν ἀενάῳ λίμνῃ διατρίβει ἐν δρυσὶν ἢ φηγοῖσιν. ἄλλο δέ τί ἐστιν ἡ φηγὸς παρὰ τὴν δρῦν. *Δρυΐναο*: ὅτε καταλιπὼν τὴν λίμνην εἰς δρῦν ἔλθῃ, τότε δρυΐνας καλεῖται. 413. *ὅγε οἱ φηγοῖσιν*: καὶ δὴ σημειωτέον ὅτι ἡ φηγὸς ἄλλο τί ποτέ ἐστι παρὰ τὴν δρῦν, τουτέστιν οὐκ ἔστι κυρίως δρῦς. Θεόφραστος δὲ (hist. plant. III 8, 2) *πέντε γένη φησὶ δρυῶν εἶναι, ἐν δὲ τούτων τὴν φηγόν.*

416. *Μολουρίδας*: καὶ γὰρ μολουρὶς ζῷόν ἐστιν ὅμοιον ἀκρίδι [ἄλλοι δὲ σίλφῃ εἶναι ὅμοιόν φασι G]. 417. *σπέρχεται δὲ ἀντὶ τοῦ διώκεται ὑπὸ τοῦ μύωπος. τοῦτον γὰρ τὸν ὄφιν ἀεί ποτε τείρει ὁ μύωψ καὶ διώκει αὐτόν. τότε οὖν, φησι, διωκόμενος ὑπ' αὐτοῦ εἰς κοῖλον πρέμνον δρυὸς ὑπεδύσατο.*

420. *ἀρπεδὲς αὕτως*: οἷον ἐπίπλατον καὶ ὁμαλόν· οἷον οὐκ ὀξυκέφαλός τις. ἔστι δὲ παρὰ τὴν ἔραν, ἤγουν τὴν γῆν, οἱονεὶ ἐροπεδές. ἢ ἁρπεδές, ἐπεὶ παρὰ τὴν ἁρπεδόνα λεπτόν.

421. *ἐχθρὸν ἄηται*: ἀπὸ δὲ τοῦ σώματος τοῦ θηρίου τοῦ δρυΐνου δυσωδία τις ἐκπέμπεται.

422. *οἷον ὅτε πλαδόωντα ἕως τοῦ λάθαργοι*: τοιαύτην, φησί, δυσωδίαν ἀπὸ τοῦ σώματος ὁ δρυΐνας ἀφίησιν, ὅσην καὶ οἱ περὶ τὰ δέρματα τῶν ἵππων σκώληκες ἀφιᾶσι τεμνόμενοι. 423. *ἄρβηλοι* δὲ λέγονται τὰ κυκλοτερῆ σιδήρια, οἷς οἱ σκυτοτόμοι τέμνουσι καὶ ξέουσι τὰ δέρματα. *λάθαργοι* δὲ οἱ ὑμένες καὶ τὰ ξύσματα τῶν δερμάτων. *γναμπτόμενοι* δέ, τουτέστι ξεόμενοι ὑπὸ τῶν ἀρβήλων, οἱονεὶ ὑπὸ τῶν σμιλῶν ἢ τῶν ξύστρων, οἱ λάθαργοι *μυδόωσι*, τουτέστι ὄζουσι γναμπτόμενοι ὑπὸ τοῖς ἀρβήλοις οἱ λάθαργοι. *Γναμπτόμενοι*

---

4 ἀρχομένοιο V περὶ KPVR παρὰ GL 6 ὅτε κρώξειε A ὅτε κρώζει KVR. an κρώζειε? 7 ὑπερβαλούσῃ λοιμώξει K ὑπερβάλλοντι λιμῷ A 8 αὐτόθι ἀπόλλυται P 10 πιφαύσκεο G 12 τὸν δρῦν K 14 φαγοῖσι K 16 ἐπὶ δὲ τούτων KG ἐπὶ δὲ τούτοις PA, correxit Bentleius 18 μόλουρος K 23 ἐπίπλαστον K ὑπόπλατον P ἐπίπλατυν I. G. Schneiderus 25 ἢ ἁρπεδὲς ἐπίλεπτον παρὰ τὴν ἁρπεδόνα G παρὰ] περὶ KP κατὰ A 28 πλαδόωντα οἷον ὅτε πλαδόωντα K 32 ξύουσι G 33 ξυόμενοι G 35 ὄζουσι. ὅθεν καὶ κναφεύς. κώληπος (rell. om.) G

γὰρ ξεόμενοι· ἐξ οὗ καὶ κναφεύς. λέγεται δὲ ἀρβύλη καὶ περὶ τὸν τοῦ Εὐριπίδου Ὀρέστην (v. 140 sq.) „ἃ ἃ σιγᾶτε μὴ ψοφῆτε, μηδὲ ἔστω κτύπος ἐπὶ λεπτὸν ἴχνος ἀρβύλης.“

424. Κώληπος: ἤγουν τοῦ ἀστραγάλου, ὡς Ὅμηρος (Il. Ψ 726)

κόψ' ὄπιθεν κώληπα τυχών.

425. πνιγόεσσα δὲ ἤγουν χαλεπή, ὥστε τὸν ὀσφρανθέντα πνίγεσθαι. κεδαιομένη δὲ ἀντὶ τοῦ σκεδαννυμένη, οἱονεὶ μεριζομένη, κατὰ στέρησιν τοῦ σ. γράφεται καὶ κεδαννυμένη. 427. πεδόωσι δὲ ἀντὶ τοῦ πεδοῦσιν, ἀμαυροῦσιν. ἀλυσθαίνοντος δέ, τουτέστιν ἀδημονοῦντος καὶ ἐν ἄλῃ τυγχάνοντος, ἤγουν ἀδημονίᾳ.

429. ῥινοὶ δὲ πλαδόωσιν: ἀντὶ τοῦ δυσωδίαν πέμπουσιν αἱ βύρσαι αὐτῶν. 430. νεμέθων δέ, ἤγουν νέμων, κατατρώγων καταδαπανᾷ καὶ δαμάζει. 431. κακοσταθέοντα δὲ ἤγουν μηδ' ὁπωσοῦν ἠρεμοῦντα καὶ μηδὲ ἱστάμενον, ἀλλὰ κακῶς ἑστῶτα, ἢ σειόμενον διὰ τὸ βαρεῖσθαι.

432. οἵ δέ τε: τουτέστιν ἄλλοι πάλιν τῶν δηχθέντων μυκάζουσιν, οἱονεὶ ὡς αἶγες κράζουσιν, ἢ χασμῶνται κατὰ τὸν τρόπον τῶν αἰγῶν, ἢ βληχῶνται. περιπνιγέες δὲ ἀντὶ τοῦ περίπνιγοι, ἤγουν ὡσανεὶ περὶ τὸ πνίγεσθαι γίνονται.

433. οὖρα δ' ἀπέστυπται: ἤγουν ἀποστύπτεται ἢ ἀποστύφεται, ἀντὶ τοῦ ὠχρὰ φαίνεται. 434. ῥέγκουσι δὲ ἤτοι πνευστιῶσι, ῥέγχουσι.

436. ἐπιδίψιος ἄτη: τὸ δὲ ἐπιδίψιος ἄτη ἀντὶ τοῦ δίψῃ χαλεπῇ συνεχόμενοι οἱ ἄνθρωποι ἀποθνήσκουσι.

437. τρόμον: καὶ γὰρ μετὰ τὰ προειρημένα πάντα καὶ τρόμος τις τοῖς μέλεσι τοῦ κάμνοντος περιτρέχει καὶ γίνεται.

438. φράζεο: ὅλος ὁ νοῦς τοῦ στίχου οὗτος, ὁ δράκων ἐτράφη μὲν ὑπὸ τοῦ Ἀσκληπιοῦ κατά τινα τόπον τοῦ Πηλίου καλούμενον Πελεθρόνιον, τὴν δὲ φύσιν ἐστὶ μέλας, ὑπόχλωρος τὴν κοιλίαν, καλὸς δὲ τὴν μορφήν, τοὺς ὀδόντας ἔχων τριστοίχους, τὸ δὲ ἐπισκύνιον παρεμφαίνων· καὶ κατὰ τὸν ἀνθερεῶνα λεπίδες ἐπεγηγερμέναι πώγωνος παρέχουσι φαντασίαν χολοβαφινῷ σώματι προσεοικότος. τὸ δὲ δῆγμα ἄπρακτον καὶ τῷ τοῦ μυὸς δήγματι προσεοικός, κἂν σφόδρα χαλεπήνῃ. πολεμεῖται δὲ καὶ πολεμεῖ συνεχῶς τῷ ἀετῷ, πολλάκις μὲν καὶ

---

1 ἐξ οὗ καὶ γναφεὺς καὶ κναφεύς. ἡ δὲ ἀρβήλη ἐστὶ καὶ εἶδος ὑποδήματος παρ' εὐριπίδῃ ἐν ὀρέστῃ, ὡς τὸ ἃ ἃ σιγᾶτε μὴ ψοφεῖτε, μὴ δ' ἔστω κτύπος ἐπίθες λεπτὸν ἴχνος ἀρβήλης A ἐξ οὗ καὶ κναφεύς. λέγεται γὰρ ἄρβηλος καὶ παρ' εὐριπίδην ὀρέστην· ἃ ἃ σιγᾶτε, μὴ ψοφεῖτε, μήδ' ἔστω κτύπος ἐπίθες λεπτὸν ἴχνος ἀρβήλης P 5 κώληπα GL κώλυπα P κώληπος K 7 μεριζομένη καὶ σκορπιζομένη L 16 μυκάζουσιν KP μηκάζουσιν G 30 τριστοίχους G τριστίχους P περιστοίχους K τὸ δὲ om KP: τὸ δὲ ἐπισκύνιον πάντοθεν πῖον. ὑπὸ δὲ τῆς πιότητος αἱ σάρκες ἐπεγηγερμέναι ὑπὸ τὸν ἀνθερεῶνα πώγωνος παρέχουσι φαντασίαν A 32 χολοβαφινῷ Bussemakerus χολοβαφηνῷ KP χολοβαφεινῷ I. G. Schneiderus προσεοικότος P προσεοικο K προσεοικότι G προσεοικώς L προσεοικυῖαι I. G. Schneiderus

ἐπὶ τὴν νοσσιὰν παραγενόμενος καὶ τὰ ἐν αὐτῇ ὠὰ σιτούμενος, συνεχῶς δὲ κἀκείνῳ, ὅτε ἐπὶ ἁρπαγὴν ἀρνὸς ἢ λαγωοῦ τράπηται. Πελεθρόνιον δὲ τόπος ἐστὶ τοῦ Πηλίου ἀνθώδης· διὸ καὶ οὕτω καλεῖται ἀπὸ τοῦ πέλειν ἐκεῖσε τὰ ἄνθη· θρόνα γὰρ τὰ ἄνθη λέγονται. 441. ἄγραυλος δὲ ἤτοι ἀγλαός, καλός, λαμπρός, εὐπρεπής, ὡραῖος φαίνεται. 443. ἐπισκύνιον δέ, ὃ καὶ σκύνιον, εἶπε τὸ ἐπάνω τῶν ὀφρύων. 444. χολοίβαφος δὲ ὁ χολῆς χρώματι βεβαμμένος, ἢ χλωρός, ὡσεὶ σμαραγδώδης ἢ χρυσίζων. αὔτως δὲ ὁμοίως τοῖς ἄλλοις ὄφεσιν.

446. οἷα νυχηβόρου: γράφεται καὶ μυχηβόρου, τοῦ ἐν τοῖς μυχοῖς ἐσθίοντος· ἐὰν δὲ οἷα νυχηβόρου, λέγεται τοῦ ἐν νυκτὶ ἐσθίοντος μυὸς ὃ ἂν εὕρῃ.

447. ὑπὸ κραντῆρος: κραντῆρες λέγονται οἱ ὕστερον ἀναβαίνοντες ὀδόντες παρὰ τὸ κραίνειν καὶ ἀποπληροῦν τὴν ἡλικίαν. νεωτέρων γὰρ ἤδη ἡμῶν γενομένων φύονται οἱ ὀδόντες οὗτοι. Κλεάνθης δὲ σωφρονιστῆρας αὐτοὺς καλεῖ. νῦν ἁπλῶς τοὺς ὀδόντας. σωφρονιστῆρες δὲ διὰ τὸ ἅμα τῷ ἀνιέναι αὐτοὺς καὶ τὸ σῶφρον τοῦ νοῦ λαμβάνειν ἡμᾶς.

448. ὄρνις αἰετὸς ἐκ παλαχῆς: γράφεται γὰρ καὶ ἐξ αἴθρης. καὶ ἐὰν μὲν ᾖ ἐκ παλαχῆς, δῆλον ἀντὶ τοῦ ἐξ ἀρχῆς· ἐὰν δὲ καὶ ἐξ αἴθρης, ἐκ τοῦ αἰθέρος, ὑψόθεν. 450. βλώσκοντα δὲ ἤτοι ἀναστρεφόμενον, νεμόμενον τὸν δράκοντα λέγει.

452. τόκον κτίλα τ' ὤεα: τὰ κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται καὶ ἐπὶ τῶν τῆς πολιμνης προηγουμένων κριῶν καὶ ἐπὶ τῶν λιπαρῶν. ὁ δὲ Ἐμπεδοκλῆς ἐπὶ τῶν ἡμέρων καὶ πραέων

ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ,
θῆρές τ' οἰωνοί τε, φιλοφροσύνη τε δεδήει,

καὶ Ἡσίοδος

χρὴ πατρὶ κτίλον ἔμμεναι.

ὁ δὲ ποιητὴς τὸν ἡγεμόνα τῶν ποιμνίων κριὸν λέγει (Il. Γ 196)

αὐτὸς δὲ κτίλος ὣς ἐπεπωλεῖτο στίχας ἀνδρῶν.

456. ἀτέλεστα διώκει: ὁ δράκων δηλαδὴ τὸν ἀετόν, καθὸ οὐδὲν αὐτῷ δύναται ποιῆσαι περιπετομένῳ ἐν ὕψει. τὸ δὲ ἀτέλεστα ἀντὶ τοῦ ἀτελείωτα. 457. τὸ δὲ ὑποδράξ ἀντὶ τοῦ ὑποβλεμματικῶς, ὑποβλεπόμενος.

458. χαλαίποδος: γράφεται καὶ χωλοίποδος καὶ κυλλόπο-

---

2 κἀκεῖνος K: κἀκείνῳ ἐνεδρεύων ὅταν A 5 ἄγραυλος KP ἄγλαυρος GL 9 οἷα νυχηβόρου P οἷα νυχοβόρου K 10 ἐὰν δὲ ἔνι νυχοβόρου K ἐὰν δὲ ἔνι νυχήτερον P 14 κλέανθος A 23 τῆς ποίμνης G: τῆς om. K 25 ἦσαν δὲ KV ἦσαν δὲ καὶ P ἦσαν γὰρ L ἠδ' ἦσαν A ἀνθρώποισι AV ἀνθρώποις KP 26 φῆρες P οἰωνοί Sturzius Empedocl. p. 604 ἄνθρωποι codices φιλοφροσύνη Sturzius 28 χρὴ πατρὶ KA χρὴ δὲ πατρὶ PV χρὴ δέ σε πατρὶ G 29 τὸν ἡγεμόνα τῶν ποιμνίων AP τὸν ἡγεμόνα τῆς ποίμνης G, om. K 35 χολοίποδος καὶ κοιλόποδος K κολοίποδος καὶ χωλοίποδος P κυλοίποδος καὶ χωλοίποδος A χωλοίποδος καὶ κιλόποδος G: κυλλόποδος I. G. Schneiderus

δος. ἀμφότερα δὲ τὸν χωλὸν σημαίνει, χαλαίποδος διὰ τὸ κεχαλασμένους τοὺς πόδας ταῖς ἁρμονίαις ἔχειν. Ἡφαίστου νῆσον τὴν Λῆμνον ἐκάλεσε, ὡς λέγει καὶ Ὅμηρος (Il. *A* 593) *„κάππεσεν ἐν Λήμνῳ“.* 459. *Σάμον δὲ δυσχείμερον τὴν Σαμοθράκην ἐδήλωσεν.*

460. *Ῥησκυνθίδος: τὸ Ῥησκύνθιον ὄρος Θράκης Ἥρας ἱερόν, ἐξ οὗ τὴν προσηγορίαν ἔσχε Ῥησκυνθίδα. ἔστι δὲ τῆς Ἥρας καὶ Ζηρυνθίου Ἀπόλλωνος νεὼς ἐν τῷ αὐτῷ τόπῳ. τῆς δὲ Αἴνου πλησίον ἐστὶν ὁ ποταμὸς Ἕβρος. οὐ μακρὰν δέ ἐστι τοῦ ποταμοῦ ἡ Ζώνη ἡ πόλις, μεθ' ἣν αἱ Ὀρφέως δρύες εἰσίν, ὑφ' ἃς πόλις ἐστὶ Ζηρύνθιον, ἐν ᾗ τὸ ἄντρον. μέμνηται τῆς Ζώνης καὶ Ἀπολλώνιος* (Argon. I 29)

ἐν τῇ Θρηικίῃ Ζώνῃ ἐπιτηλεθάουσαι.

μέμνηται καὶ οὗτος ὁ Νίκανδρος

τῷ μὲν ὑπὸ Ζωναῖον ὄρος δρύες ἀμφί τε φηγοί
ῥιζόθι δινήθησαν ἀνέστησάν τε χορείαν
οἷά τε παρθενικαί.

Ἄλλως. Ῥησκύνθιον δὲ ὄρος Θράκης, ἐν ᾧ Ἥρα ἐτιμᾶτο, ἐξ οὗ καὶ ἡ Ῥησκυνθίς. 462. *καὶ δρύες, τουτέστιν ὄρος ἐν ᾧ εἰσιν αἱ δρύες τοῦ Οἰαγρίδου, τουτέστι τοῦ Ὀρφέως τοῦ υἱοῦ τοῦ Οἰάγρου. Ζηρύνθιον δὲ ἄντρον ἐστὶν ἐν Σαμοθράκῃ. Λυκόφρων δέ φησι* (v. 77)

Ζηρύνθιον ἄντρον τῆς κυνοσφαγοῦς θεᾶς,
ὅ ἐστι σπήλαιον τῆς Ἑκάτης.

463. *Δήεις: διὰ μακροῦ ἀπεδόθη ἡ ἀπόδοσις. ἔστι δὲ οὗτος μακρὸς καὶ κατάστικτος.*

Ὅν τε λέοντα: λέοντα αὐτόν φησι καὶ λέγει ἢ διὰ τὸ πολύστικτον καὶ ποικίλον τῶν φολίδων ἢ διὰ τὸ γενναῖον. Ἄλλως. λέοντα ἐκάλουν τὸν κεγχρίνην ἢ δια τὸ ἑαυτὸν μαστίζειν τῇ οὐρᾷ καὶ διεγείρειν εἰς μάχην ὡς λέοντα ἑαυτόν, ἢ διὰ τὸ δάκνειν καὶ ῥοφᾶν τὸ αἷμα τοῦ ἀνθρώπου, ἅτινα δὴ καὶ λέων ποιεῖ. ῥοφᾷ δὲ τὸ αἷμα διὰ τῶν κατακλείδων.

465. *Πολύστροφον: ἀντὶ τοῦ εὐκίνητον ἢ πολλὴν στροφὴν καὶ μέγεθος ἔχον, οἷον εὔμηκες. τὰ γὰρ μακρὰ τῶν ἑρπετῶν πολύστροφά εἰσιν.*

---

1 κεκλασμένους G 6 ἔχε ῥησκυνθ| K ὑντίου K ὑντίνου GP κυτίνου A: cf. Liv. XXXVIII 41 9 ὑφ' ἃς KP πρὸς ἃς GL ἄντρον GL ἄστρον KV 11 ἐν τῇ KPV ἐν τῷ A: ἐν τῷ ἀκτῇ Θρηικίῃ Ζώνης edidit I. G. Schneiderus ex G ἐπιτηλεθέουσαι P 12 οὗτος ὁ νίκανδρος KPVR αὐτὸς Νίκανδρος ἀλλαχοῦ A: inter Europiae fragmenta posuit O. Schneiderus p. 36 sq. 13 τῷ μὲν O. Schneiderus τὸ μὲν KGVR τὰ μὲν P καὶ μὲν A ὑπὸ ζωναῖον KVR ὑποζώναιον A 14 δινήθησαν AVR δινηθεῖσαν K ἀνέστησάν τε χορείαν. οἵην παρθενικαί A. in K non satis adparuerunt. ἐνέστησαν coniecit I. G. Schneiderus χορείην coniecit O. Schneiderus p. 37 15 οἷά τε G οἵαν τε PVR 18 οἰαγρίδου P ὐαγρίδου K οἰάγρου P ὐάγρου K 20 ζήρυνθον G κυνοσφαγοῦς PG κυνοφάγου K θεᾶς G θεοῦς P θεοῦ K 21 ἑκάτης P ἑλάτης K 22 διὰ μακροῦ A διὰ μικροῦ K 23 μακρὸς καὶ κατάστικτος G: καὶ om. K 26 κεγχρήνην K ἑαυτὸν μαστίζειν τῇ οὐρᾷ G ἑαυτὸν βαστάζειν τὴν οὐρὰν K ἑαυτοῦ (corr. ἑαυτὸν) βαστάζων τὴν οὐράν P 27 λέων KG

αἶψα δὲ σαρκί: ταχέως δὲ περὶ τὴν σάρκα σηπεδόνας ἐποίησε δυσιάτους. αὗται γάρ εἰσιν αἱ πυθεδόνες· Ὅμηρος (Il. Δ 174)

σέο δ' ὀστέα πύσει ἄρουρα,

καὶ Ἐρατοσθένης

οὐδὲ πελιδναί
πυθεδόνες γάστρηναν ὑπέτρεφον οὐλοὸν ἕλκος.

οἱ δὲ Αἰολεῖς τὸ φθίνειν πύθεσθαι λέγουσι.

470. *μαιμώσσων*: ἀντὶ τοῦ ζητῶν καὶ ὁρμῶν. γράφεται καὶ *λαιμώσσων*, ἀντὶ τοῦ πεινῶν, ὡς Ἱππῶναξ

λαιμώσσει δέ σου
τὸ χεῖλος ὡς ἐρωδιοῦ.

471. *ἐπὶ κτίλα δὲ μῆλα* τὰ ἥμερα καὶ τὰ ἑπόμενα τῷ κτίλῳ, τουτέστι τῷ προηγουμένῳ κριῷ.

472. *ἠὲ Σάου*: καὶ γὰρ τὸ μὲν Σάον καὶ τὸ Μόσυχλον ὄρη εἰσὶ τῆς Σάμου. μέμνηται δὲ καὶ τούτων τῶν τόπων ἐν Λήμνῳ τε καὶ Σαμοθράκῃ, τὰς νήσους ἑκατέρας ἀπὸ τούτων σημαίνων. ἐκαλεῖτο δὲ Σάος ἡ ὅλη Θρᾳκικὴ Σάμος. καὶ Μόσυχλον δὲ τὰ ὄρη τῆς Λήμνου, ὡς Ἀντίμαχος

Ἡφαίστου πυρὶ εἴκελον, ἦν ῥα τιτύσκει
δαίμων ἀκροτάτης ὄρεος κορυφῇσι Μοσύχλου·

καὶ Ἐρατοσθένης φησί

ἐν δέ οἱ ὄσσε
κανθοῖς παμφαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον.

473. *ἄγραυλοι*: ὅτε οἱ ἄγραυλοι, τουτέστιν οἱ ποιμένες, καταλείψαντες τὰ ἔργα τῶν νομέων, τουτέστι τοῦ βόσκειν, καταψύχωσιν ἑαυτοὺς καὶ τὰ θρέμματα ὑπὸ ταῖς μακεδναῖς, ἤγουν ἐπιμήκεσιν ἐλάταις, τουτέστιν ἐν ταῖς σκιαῖς. 475. *καταπλέξῃ* δὲ ἀντὶ τοῦ ἀγρεύσῃ. ἢ *περιπλέξῃ*, ἤγουν περιπλακῇ. 476. καὶ τὸ *μαστίζων*, ἑαυτὸν

---

2 *εἰσιν αἱ πυθεδόνες* A *εἰσι καὶ πυθεδόνες* K 5 *οὐδὲ πελιδναί* KVA *οὐδὲ πελιδναί αἱ* P *αἱ δὲ πελιδναί* G: *οὐδὲ δέμας πελιδναὶ Πυθεδόνες παρέφηναν, ἐπεὶ τρέφον οὐλοὸν ἕλκος* coniecit Bernhardyus Eratosthen. p. 157 6 *γάστρηναν ὑπέτρεφον* KPA *γάστρηναν ὑπέστρεφον* G *γάστρην ἀνυπέστρεφον* L *γάστρην ἀνυπόστροφον* V *γάστρην ἂν' ὑπέτρεφον* coniecit Bussemakerus 8 *καὶ ὁρμῶν* g LP, om. K 10 *λαιμώσσει* A λαιμ K *λαιμῶι* PG *λαιμώσσων* (om. *δέ σου*) V *λαιμώσσων* (om. *δέ σου*) R 11 *ἐρωδιοῦ* KPGLV *ἠρώδου* A 14 *καὶ ὁ σάος δὲ καὶ ὁ μόσυχλος* A: *σάον — μόσυχλον* GP 16 *ἑκατέρων* G 17 *μόσυχλος δὲ ὄρος* G 19 *Ἡφαίστου* AV *ἡφαίστοιο* KPR *Ἡφαίστου φλογί* coniecit Dübnerus Antim. fragm. p. 39 *εἴκελον* A, om. KVR 20 *δαίμων* A *σάμου* K *σάμου* VR *ἀκροτάτης* P *ἀκροτάτου* KGV *ἀκροτάτοιο* R *ἀκροτάταις* A *ὄρεος* A *ὄρους* KPVR 22 *ἐν δέ οἱ ὄσσε κανθοῖς* conieci obss. crit. in Cat. et Varr. p. 94 *εὖ τοι ὄσσε κάνθων* KPV, *εὖ τοι ὄσοις* A *εὖτε οἱ ὄσσε Ἐκ κανθῶν φαίνεσκε* coniecit Dübnerus l. c. 23 *παμφαίνεσκε* KGV *φαίνεσκε* A 27 *καταφλέξει δὲ ἀντὶ τοῦ ἀγρεύσει* K *καταφλέξῃ ἀντὶ τοῦ ἀγρεύσῃ* A

δηλονότι τῇ οὐρᾷ, ἢ ὃν ἂν θέλῃ πλῆξαι [ἢ ἀντὶ τοῦ μαστίζων γράφεται λαιμώσσων, ἀντὶ τοῦ πεινῶν, ὡς Ἱππῶναξ

λαιμώσσει δέ σου

τὸ χεῖλος ὡς ἐρωδιοῦ].

477. καὶ κληῖδας τὰς σάς, ἤτοι τὰς τοῦ πληττομένου, ἢ τοῦ οἰκείου χαλινοῦ.

478. σκολιήν: ἤτοι καμπὰς ἔχουσαν ὁδόν, ἀντὶ τοῦ μὴ εὐθεῖαν. καὶ δοχμὸς ἐναντιούμενος τῇ τοῦ ἑρπετοῦ πορείᾳ.

482. τοῖος Θρηικίῃσιν: ἤτοι τοιοῦτος πλησιάζει. 484. τὸν δὲ ἀσκαλαβώτην γαλεώτην οἱ Ἀττικοὶ καλοῦσιν. ἔοικε δὲ σαύρᾳ.

484. ἐρέει δὲ φάτις, ἤτοι φησὶν ὁ λόγος. ἱστορία Δήμητρος. λέγεται Ἄμβας υἱὸς Μετανείρας φθονερώτερον διενεχθῆναι πρὸς τὴν θυσίαν τῆς θεοῦ, διὸ αὐτὸν ἀσκαλαβώτην ἐποίησεν. ἢ ὅτι Μετανείρας υἱὸς Ἄμβας ἐδυσχέρηνεν ὅτι ἡ μήτηρ αὐτοῦ τὴν Δήμητραν ὑπεδέξατο καί τι ἐφθέγξατο εἰς τὴν θεόν· διὸ ὀργισθεῖσα τὸ ἐν τῷ κρατῆρι λείψανον ἐγχέασα αὐτῷ ἀσκαλαβώτην αὐτὸν ἐποίησεν. Ἄλλως. λόγος, φησί, τὴν Μετάνειραν τοῦ Τριπτολέμου εἶναι μητέρα, ὃν δέδωκε τῇ Δήμητρι ἀνατρέφειν. τοῦτον ἡ Δημήτηρ λαβοῦσα συνεχῶς αὐτὸν εἰς τὸ πῦρ ἔβαλλεν ἀπαθανατίσαι βουλομένη αὐτόν. ὡς δὲ ἐπιπολὺ τοῦτο ἐποίει, φωραθεῖσα ὑπό τινος ἐπαύσατο καὶ οὐκ ἀπηθανάτισεν αὐτόν. ὑπέδειξε δὲ αὐτῷ τὴν σποράν τοῦ σίτου. χρόνῳ δέ ποτε ἡ Μετάνειρα τὴν Δήμητραν ὑπεδέξατο εἰς τὸν οἶκον αὐτῆς. τῆς δὲ θυσίας γινομένης ἐπ᾽ αὐτῇ παρὼν Ἄμβας υἱὸς αὐτῆς ἕτερος ἐγέλασε καταγελῶν τῆς θυσίας. ἡ δὲ Δημήτηρ ὀργισθεῖσα ἀποχέασα τὸ ἐν τῷ κρατῆρι ἀπομεῖναν κέρασμα ἐποίησεν αὐτὸν ἀσκαλαβώτην.

486. Θεράπναις: ἤγουν ταῖς θεραπαίναις ἢ τόποις πρὸς ξενίαν ἐπιτηδείοις. 484. τὸ δὲ Ἀχαίη Δημήτηρ ἢ διὰ τὸ ἄχος καὶ τὴν λύπην τῆς θυγατρός, ἢ διὰ τὸν τῶν κυμβάλων ἦχον.

490. οὖς ἔλοπας: τουτέστιν ἀσθενεῖς ὄφεις. ἀπὸ γένους εἰς γένος ἄγει, οὕσπερ καλοῦσιν ἀπὸ τῆς χροιᾶς ἀμμώδεις καὶ μυόθηρας καὶ ἔλοπας. Λίβυας δὲ καλεῖ τοὺς ἀμμοδύτας· πολλοὶ γὰρ ἐν Λιβύῃ τοιοῦτοι τυγχάνουσι· πολυστεφέας δὲ τοὺς πολλοὺς στεφάνους ἔχον-

---

1 ἢ ἀντὶ τοῦ μαστίξων γράφεται λαιμώσσων ἀντὶ τοῦ πίνων ὡς ἱππῶναξ λαιμώσσω τὸ χεῖλος ἐρωδιοῦ P ἢ ἀντὶ τοῦ μαστίζειν γρ. λαιμώσσων ..... χεῖλος ὡς ἐρωδιοῦ extritis aliquot litteris K γράφεται δὲ καὶ λαιμώσσων ἵν᾽ ᾖ πεινῶν (rell. om.) A 7 σκολιήν· ἤγουν καμπὰς ἔχουσαν ὁδύν, μὴ εὐθεῖαν πορείαν συστρεφόμενος. καὶ τὸ δοχμὸς δὲ ἤτοι ἀνακύπτων καὶ ἐναντιούμενος τῇ τοῦ ἑρπετοῦ πορείᾳ G καμπτὴν ἔχουσαν K 9 τὸ δὲ ἀσκαλαβώτην KP ἀσκαλάβου. ἀσκάλαβον τὸν καὶ ἀσκαλαβώτην A 14 δήμητραν P δημέτερα K 17 φασί K 19 ἀπαθανατίσαι A ἀποθανατῶς corr ἀπαθανατῆσαι P ἀποθανα K ἀπαθανατῶσαι G 20 ἀπηθανάτισεν A ἀπηθανάτωσεν KG ἀπεθανάτησεν superscripto ἀπηθανάτωσεν P 21 σποράν A σπορείαν K 23 ἄμβας PG ἔμβας K ἄβας A. Ἰαμβᾶς coniecit O. Schneiderus 24 ἐπιχέασα A 28 κυμβάλων G κυμάτων KPA 29 ἀπὸ τοῦ γένους δὲ εἰς εἴδη μετέβη A ἀπὸ τοῦ γένους δὲ εἰς γένος ἀνάγει G

τας καὶ γραμμάς· μυάγρους δὲ τοὺς μυόθηρας, οἳ καλοῦνται καὶ ὀροφίαι.

491. ἀκοντίαι: οὕτως διατρέχοντες κατὰ τὰ ἀκόντια. ἄλλα δὲ ζῷά εἰσιν οἱ ἀκοντίαι ὥσπερ τὰ ἀκόντια ὁρμῶντες. ἐπὶ τούτοις δὲ οἱ τυφλῶπες, τουτέστιν οἱ καλούμενοι τυφλῖνοι ἤ, ὡς Ἀπολλοφάνης, ὄφεις εἰσίν. οὗτοι δὲ καὶ πατούμενοι ἠρεμοῦσι. 493. θρόνα δὲ τὰς ἀντιπαθεῖς βοτάνας λέγει. 494. τὸ δὲ διεῖσομαι ἀντὶ τοῦ διηγήσομαι.

495. διαμπερέως: ἤγουν ἀκριβῶς, συντόμως.

οἷσιν ἀρήγων: τουτέστιν οἵστισι θρόνοις καὶ φαρμάκοις βοηθῶν τὴν κατεπείγουσάν σε καὶ καταπονοῦσαν τῆς νόσου ἀνίαν θεραπεύσειας. ἀλθήσῃ γὰρ λέγει ἀντὶ τοῦ θεραπεύσειας.

497. τὰς μέν: τὰς μὲν οὖν βοτάνας. ἔτι κλύζοντι: τῷ αἵματι ἢ τῷ θανάτῳ παρὰ τῷ ἄλγει καὶ τῇ ὀδύνῃ. 498. νεόκμητα δὲ ἤγουν νεοθαλῆ ἢ νεωστὶ τμηθέντα ἐν τόπῳ ὅπου οἱ κνῶπες. 499. κνῶπες δέ ἐστιν εἶδος ζῴων θηριωδῶν.

500. πρώτην μὲν Χείρωνος: παραλαμβάνει τὴν χειρωνείαν ῥίζαν, ἥτις πρὸς πᾶν ἁρμόζει καὶ πανάκειον καὶ κενταύρειον καλεῖται. εὑρεθῆναι δέ φησιν αὐτὸ ὁ Νίκανδρος ὑπὸ Χείρωνος. πολύστροφον δὲ αὐτὸ καὶ λέγει Θεόφραστος (hist. plant. VIIII 11, 1) οὕτως, „τὸ δὲ χειρώνειον ὅμοιον ἀμαράκῳ, μεῖζον δὲ καὶ δασύτερον, ἄνθος δὲ χρυσοειδές, ῥίζαν μακράν. φιλεῖ δὲ μάλιστα χωρία ταπεινά“. ἐπαλθέα δὲ θεραπευτικήν. Τὴν χειρωνείαν καὶ κενταυρείαν καὶ πανάκειαν καλοῦσιν.

503. Ἀμαρακόεσσα: παραπλησία τῷ ἀμαράκῳ, φησί, κατὰ τὴν χαίτην. ἀμάρακος δέ ἐστιν ἡ καλουμένη σάμψυχος.

505. οὐ βυθόωσα: τουτέστιν ἐπάνω, οὐ κατωτέρω τὴν ῥίζαν ἀποπέμπουσα.

509. ἀριστολόχεια: δύο γένη εἰσὶν ἀριστολοχείας, τὸ μὲν ἄρρεν, θῆλυ δὲ τὸ ἕτερον. τὰ δὲ ἄνθη αὐτῶν ὡς ὕσγινος βάπτεται καὶ ἐρυθαίνεται. βοτάνη δέ ἐστιν ἡ ἀριστολόχεια ὠνόμασται. ταύτην δέ φησιν Ἀριστοτέλης γυναῖκα εὑρηκέναι. Ἄλλως. ἀριστολόχεια καὶ περικλύμενον βοτάναι εἰσίν, ἅπερ φύλλα ἔχειν κισσοῦ φησιν, ὡς οἱ ἀκρι-

---

2 ῥοφίαι KPA, correxit I. G. Schneiderus 5 τυφλῖνοι οἳ καὶ πατούμενοι A τυφλῖνοι, ἤ, ὡς Ἀπολλόδωρός φησιν, ὄφεις εἰσίν· οὗτοι δὲ πατούμενοι edidit I. G. Schneiderus, quod probavit O. Schneiderus p. 195: ὡς ἀπολλοφάνης εἰσίν. οὗτοι δὲ καὶ πατούμενοι P 12 ἀλθήσῃ g ἀλθήσει K: ἀλθήσας — θεραπεύσας P 13 ἔτι P ὅτι K: τῷ οὖν βλύζοντι A 18 πανάκειον G πανάκειος KA κενταύρειος P κενταύριος G κένταυρος KA 19 αὐτὸ ὁ νίκανδρος A αὐτὸς ὁ νίκανδρος K 20 αὐτὸ A αὐτὸν K 21 χειρώνιον P 22 μικράν Bussemakerus 23 τὴν χειρώνειον K κενταύριον G 25 παραπλησία A παραπλήσιον K 31 βοτάνη ἐστὶ καὶ ἀριστολόχεια ὠνόμασται. ταύτην δὲ ἀριστολόχην γυναῖκα εὑρηκέναι I. G. Schneiderus edidit ex G 31 ἀρωλόχεια K ταύτην δέ φησιν Ἀριστοτέλης γυναῖκα εὑρηκέναι KPA 32 περικλύμενον G περικλυμένη K 33 φησιν P φασιν K

ἔστιν καὶ τοῦτο ἀδύνατον. ΔΕΔ. μηδὲν δὴ καὶ ἄλογον ἄν εἴη εἰπεῖν τὸν ἀριθμὸν τῶν ἀλόγων ἄπειρον. ΘΕΑ. ἀνάγκη. ΔΕΔ. ἀλλὰ μὴν καὶ τετράγωνόν γε ἄπειρον. ΘΕΑ. τί δ' οὐχί; ΔΕΔ. ἀριθμητικὸν δὲ ἄπειρον. ΘΕΑ. ἀνάγκη. ΔΕΔ. ἀλλὰ μὴν καὶ ἀριθμὸν τὸν τετράγωνον καὶ ἀριθμητικὸν ἄπειρον. ΘΕΑ. ἀνάγκη. ΔΕΔ. ἀλλὰ μὴν καὶ τὸν ἄπειρον ἀριθμὸν ἄπειρα ἐστὶ πλήθη. ΘΕΑ. ἀνάγκη. ΔΕΔ. ἀλλὰ μὴν καὶ τὸν τετράγωνον καὶ ἀριθμητικὸν ἄπειρα ἐστὶ πλήθη. ΘΕΑ. ἀνάγκη. ΔΕΔ. ἀλλὰ μὴν καὶ τὸν ἄπειρα πλήθη ἔχοντα

527. *Καρδόπῳ*: *ἀντὶ τοῦ κοίλῳ ἀγγείῳ ἢ καυκίῳ. καὶ ἀλκτήρια λέγεται τὰ ἀποσοβητήρια, ἤτοι ἀποκρουστικὰ νόσων.*

520. *Θρινακίην μὲν ῥίζαν*: *τὴν ἐν Σικελίᾳ γενομένην. οὕτως γὰρ καλεῖται ἡ Σικελία διὰ τὸ τρεῖς ἄκρας ἔχειν. τὰ δὲ ὀνόματα εἴρηνται τοῖς ἄλλοις. ἐν τῇ Σικελίᾳ δὲ γίνεται ἡ θάψος. ταύτης δὲ τῷ χυλῷ χρῶνται πρὸς ὄφεις. ἔστι δὲ χλωρότατον, ὅθεν οἱ βουλόμενοι χλωροὶ φαίνεσθαι καὶ νοσώδεις ταύτῃ περιχρίονται τὸ πρόσωπον. εὑρηκέναι δὲ αὐτήν φασι τὸν Κρατεύαν ἐπὶ νήσῳ τινὶ Θάψῳ μιᾷ τῶν Σποράδων. ἔστι δὲ αὕτη ἡ νῆσος ἀρκαιούσης καὶ Φοινίκης μεταξύ. Ἄλλως. Θρινακίην ἀντὶ τοῦ Σικελικήν. Τρινακρία γὰρ ἡ Σικελία διὰ τὸ τρεῖς ἄκρας ἔχειν.*

533. *Ῥάδικες κυρίως μὲν οἱ ἀπὸ τῶν φοινίκων κλάδοι. νῦν δὲ καταχρηστικῶς κέχρηται τῇ λέξει.* 534. *διανθέος δὲ ἤτοι τοῦ διαφανοῦς, εὐανθοῦς. ἢ δισανθοῦς διπλοῦν ἔχοντος ἄνθος, ὅτι δὶς κατ' ἐνιαυτὸν ἀνθεῖ. ἢ διὰ τὸ τοὺς καυλοὺς αὐτοῦ ἀνθέρικας καλεῖσθαι.* 535. *καυλεῖον δὲ τὸν καλαμόν. καὶ τὸ ὑπέρτερον ἀνθερίκοιο ἀντὶ τοῦ μείζονας ἀνθέρικας τοῦ ἀστάχυος ἔχοντος.*

536. *τότε λοβὸς ἀμφίς*: *χωρίς. οὐ γὰρ ὥσπερ ὃ ἐρεβίνθῳ συμβέβηκεν τοῦτο καὶ ἐπὶ ἀσφοδέλῳ, ἀλλὰ χωρὶς ἕκαστον σπέρμα καθάπερ ἔγκειται. τινὲς δὲ τὸ ἀμφὶς ἀντὶ τοῦ ἀμφί· εἶναι γὰρ τὸν λόγον οὕτως, τὸ δὲ σπέρμα ὅπερ ὁ λοβὸς αὐτοῦ αὔξει. λοβὸς δὲ λέγεται πᾶσα λεπίς, ἧς ἔνδον ἐστὶ τὸ σπέρμα. ἢ ἀγγεῖόν ἐστιν ἐν ᾧ οἱ γεωργοὶ τὰ σπέρματα βάλλουσιν.*

537. *ἠὲ καὶ ἑλξίνην*: *καὶ γὰρ ἑλξίνη καλεῖται παρὰ τὸ ἕλκειν εἰς ἑαυτήν. ἡ γὰρ ὄφρησις αὐτῆς ἐστιν ἑλκυστική. Ἄλλως. ἑλξίνη εἶδος βοτάνης ἐστί. καλεῖται δὲ οὕτως, ὅτι κωλύει τι φύεσθαι ἐγγὺς αὐτῆς.*

Κλύβατις, ὅτι καὶ χυλὸν ἔχει κολλώδη κηρῷ οἰκεῖον καὶ τὸν προσιόντα κρατεῖ. ἑλξίνη δὲ καὶ κλύβατις, σιδηρῖτις, παρθένιον, περδίκιον· πάντα γὰρ ἐπὶ ἑνὸς φυτοῦ. 538. *λάμνοις δὲ ταῖς ἰαμεναῖς καὶ ἕλεσιν.*

539. *πῖνε δ' ἐντρίψας*: *πῖνέ, φησι, μίξας τὰ προειρημένα κοτύλῃ οἴνου ἢ ὄξους. εἰ δὲ καὶ ὕδατι μίξαις καὶ πίοις τῷ μήτε ὄξος μήτε οἶνον παρεῖναι, ἀλύξειας ἂν καὶ ἐκφύγοις τὰ κακά.*

---

3 *θρινακίαν μὲν ῥίζαν* K *θρινακίην μὲν τὴν ῥίζαν* P 8 *αὐτήν φασι τὸν κρατεύαν* PA *αὐτὴν τὸν κρατευὰν* K: *κρᾶταν* G. *φησὶν ὁ Κρατεύας* coniecit Bussemakerus 9 *ἀρκαιούσης* G *ἀριωούσης* P *ἀρινύσης* K *ἀρκνούσης* A 10 *ἄλλως τρινακρίαν* P 11 *τρίας ἄκρας* K *τρία ἄκρα* P 12 *ῥάδικες* KG *περιῤῥάκιδες* PA 13 *διανθέος. δισανθέος διαφανοῦς εὐανθοῦς ἢ δισανθοῦς διπλοῦν* G 14 *ἢ δισανθοῦς* om. K 15 *κύκλους* KPGA, correxit I. G. Schneiderus 17 *μείζονας ἀνθέρικας* PG *μείζονα ἀνθέρικα* K 18 *τοτ' ἔλοβὸς ἀμφίς* K *τοὺς λοβοὺς ἀμφίς* P 19 *καθάπερ ἔγκειται* KP *ἐν τῷ ἰδίῳ λοβῷ ἔγκειται* A *ἔγκειται* (om. *καθάπερ*) G 21 *τὸ δὲ — αὔξει* G, om. KP 28 *κολλώδη* A *κοιλώδη* K 29 *ἑλξίνη δὲ καὶ κλύβατις καὶ σιδηρῖτις καὶ παρθένιον καὶ περδίκιον πάντα ἐπὶ ἑνὸς φυτοῦ* A 29 *σιδηρία τις* K 30 *ταῖς ἰαμεναῖς* A *ταῖς ἰάμναις* K 32 *φησί* A *φημί* K 33 *μίξαις καὶ πίοις* G *μίξαις καὶ πίῃς* K *μίξας πίῃς* A

541. ἐσθλὴν δ' ἀλκιβίου: ἀντὶ τοῦ θεραπευτικήν. ἀλκίβιος δὲ λέγεται ἡ βοτάνη καὶ ἔχις, καὶ ἀλκίβιος μὲν ἀπὸ τοῦ εὑρόντος Ἀλκιβίου, ἔχις δὲ διὰ τὸ ἰᾶσθαι ὑπ' αὐτῆς τοὺς ὑπὸ ἐχίδνης πληττομένους. Δημήτριός φησιν ὁ Χλωρὸς ὑπὸ ἔχεως πληγέντα τινὰ κατὰ βουβῶνα, τουτέστι τὸ γονάτιον, καὶ διαμασησάμενον τὴν λεγομένην ἀλκιβίου ῥίζαν καὶ τὸν μὲν χυλὸν καταπιόντα, τὸ δὲ μάσημα ἐπιθέντα τῷ τραύματι ἰαθῆναι εὐθύς. Ἄλλως. ἀλκίβιος ἐκλήθη διὰ τοιαύτην αἰτίαν. Ἀλκίβιον τοὔνομά τινα κοιμώμενον παρὰ τῇ ἀλωνίᾳ ἐγγὺς ὕδατος ἢ ἐγγὺς τῆς θημωνίας (τὰ γὰρ δύο σημαίνει τὸ ἄντλον) ἔπληξεν ὄφις κατὰ τοῦ βουβῶνος, ἤγουν τοῦ γονατίου, ὃς ἀναστὰς καὶ ἀναπάσας τὴν βοτάνην ταύτην τὸν μὲν χυλὸν αὐτῆς διαμασησάμενος κατέπιεν ὡς ἀποκρουστικὸν τοῦ ἰοῦ, τὸ δὲ μάσημα ἐπέθηκε τῷ ἕλκει.

543. Λείρια δ' ὡς ἴα: ὡς τὰ ἴα αὐτὴν περιστέφει. 544. ῥαδινὴ δέ, λεπτή ἐστιν ἡ ῥίζα τοῦ ἀλκιβίου.

547. εἶθαρ ἀνέπνευσεν: ἤγουν εὐθέως ἀναπνεῦσαι αὐτὸν τῆς κακοπαθείας ἐποίησεν. ἰστέον ὅτι, ἐὰν γράφηται ἐνέπνευσε κάματον βίῃ, ἐπὶ τοῦ ὄφεως ἀκουστέον, τουτέστιν ὅτι πλήξας τὸν Ἀλκίβιον ὁ ἔχις εὐθέως πόνον καὶ ἀλγηδόνα εἰς τὴν δύναμιν αὐτοῦ ἐνέπνευσε καὶ ἐνέβαλεν. εἰ δὲ γράφεται ἀνέπνευσε καμάτων, τοιοῦτόν ἐστιν, ὅτι ὁ Ἀλκίβιος τὸ μάσημα, τουτέστι τὸν φλοῦν τῆς ῥηθείσης βοτάνης, τῷ τραύματι ἐπιθεὶς τὸν χυλὸν κατέπιεν, ἵνα ἔξωθεν ὁ καὶ σύνδεσμος παραλαμβάνηται, καὶ εὐθέως τοῦ πόνου καὶ τῆς κακοπαθείας βίᾳ ἀνέπνευσεν.

549. θηλάζων: τουτέστι τὸν ζωμόν, ἤγουν τὸν χυλόν, καταπίνων. πέσκος δὲ τὸν φλοιὸν τῆς βοτάνης. τὸ λέπος, φησί, τῷ τραύματι ἐπέβαλεν.

551. ἀργῆτι σὺν οἴνῳ: ἤγουν λευκῷ καὶ θερμῷ καὶ διαπύρῳ. 552. ἀστόργοιο δὲ τῆς μὴ βουλομένης θρέψαι τὰ βρέφη, τῆς μὴ στεργούσης. ἥτις, φησί, βοτάνη, πράσιος· θηλυκὸν γάρ. κατείρυσε δὲ ἀντὶ τοῦ καταρρεῦσαι ἐποίησε. 553. τὸ δὲ πρωτογόνου καὶ τῆς αρτι γεννηθείσης καὶ τῆς ἀρτίως καὶ πρῶτον τετοκυίας. νῦν δὲ τὸ δεύτερον σημαίνει. φασὶ γὰρ ὅτι αἱ μόσχοι τῇ σπάνει τοῦ γάλακτος ἄστοργοι γίνονται καὶ οὐ χαλῶσι ταῖς δαμάλεσι τὸ γάλα, ἀλλ' ἀνακόπτουσι καὶ καρτεροῦσι. τρώγουσαι δὲ τὴν πράσιον (γαλακτοφό-

---

4 περὶ ἀλκιβίου δημήτριος P 5 διαμασησάμενον P διαμασσησάμενον K 6 μάσημα P μάσσημα K 7 ἰαθῆναι P ἰασθῆναι K 11 διαμασησάμενος P διαμασσησάμενος K 12 μάσημα P μάσσημα K τῷ ἄλγει P 13 περιστρέφει P τὰ ἄνθη δηλονότι ὡς ἴα περὶ αὐτὴν στρέφεται. ῥαδινὴ δὲ ἤγουν ἡ ῥίζα ῥαδαμνώδης ἐντὸς τῆς γῆς αὔξεται. ἤγουν κλαδώδης. ῥάδαμνος γὰρ ὁ κλάδος A 16 ἐνέπνευσε καμάτου βίῃ G ἐνέπνευσε καμάτου βία K 19 ἐνέβαλεν GP ἀνέβαλεν K ἀνέπνευσε καμάτων G ἀνέπνευσε καμάτω K καὶ ἔπνευσε καμάτοιο P 20 μάσημα G μάσσημα K 21 ἐπιθεὶς G περιθεὶς K ἔξωθεν ὁ καὶ σύνδεσμος παραλαμβάνηται G ἔξωθεν σὺν· περιλαμβάνη K 23 βίᾳ G, om. KP ἀπέπνευσεν G 26 ἐνέβαλεν P 31 ἀρτίως καὶ πρῶτον G ἀρτίως καὶ πρώτης P ἄρτι (om. καὶ πρῶτον) KA 34 καρτεροῦσι G καρτεροῦσαι P ἐπέχουσι KA

ρος γὰρ αὕτη) στέργουσι τὰ τέκνα ὑπὸ τοῦ πλεονάζοντος γάλακτος τοὺς μαστοὺς σφαραγούμεναι, οἱονεὶ σπαρασσόμεναι. 554. μελίφυλλον δὲ καὶ μελίκταιναν τὴν πράσιον οἱ ποιμένες καλοῦσι διὰ τὸ ὀσμὴν μέλιτος ἔχειν αὐτήν.

556. ῥοιζηδόν: ἤγουν μετὰ ῥοίζου καὶ κτύπου φέρονται πᾶσαι διὰ τὸ ὀσμὴν μέλιτος ἔχειν αὐτήν.

557. ἠὲ σύγ' ἐγκεφάλου: ἢ σύ, φησι, λάβε τὰς πέριξ τοῦ ἐγκεφάλου ἀραιὰς μήνιγγας τῆς κατοικίδος ὄρνιθος. γράφεται καὶ σμήριγγας. οὕτω δὲ λέγουσι τὰς τρίχας τὰς ἐπὶ τῶν μηρῶν καὶ τοῦ τραχήλου, ἔνιοι δὲ τὰς ἐπὶ τοῦ μετώπου. ἄλλοι τὸν ὑμένα λέγουσι τὸν περιτρέχοντα τὸν ἐγκέφαλον. ἔστι δὲ οὗτος τραχύτερος περιέχων τὴν ἀρχὴν τὴν ἐν τῷ νωτιαίῳ μυελῷ. ὅτι δὲ ὁ ἐγκέφαλος τῆς ὄρνιθος εἰς τοὺς ὀφιοδήκτους δῆλον. φησὶ καὶ Πέτριχος ἐν Ὀφιακοῖς.

559. ψῆγμα πολύκνημον: οἱ μὲν ὄνομα βοτάνης, οἱ δὲ λεπτόν. γράφεται καὶ ψηχρὰ πολύκνημον. σημαίνει δὲ ποτὲ μὲν τὸ περίψημα, ποτὲ δὲ τὴν βοτάνην δηλοῖ, ἧς μνημονεύει καὶ Ἀπολλᾶς ἐν τῷ περὶ βοτανῶν.

560. ὅστε τραπέζης: τράπεζα καὶ πύλη μέρη τινά εἰσιν ἐξημμένα τοῦ ἥπατος· τράπεζα, ὄνυξ, μάχαιρα, κάνεον. 561. διὰ δὲ τοῦ νεύει δὲ χολῆς καὶ τῶν τοιούτων ἀνατομικῆς ἐμπειρίας ἐπιστήμην παρίστησιν οἰκείαν ἔξωθεν παριστορῶν ἐγκαίρως· ἀντὶ τοῦ μέρος τουτέστι τῆς τραπέζης ἐγγὺς τῆς χολῆς καὶ τῶν πυλῶν τῆς τροφῆς. 561. σύμμικτα δὲ μετὰ οἴνου ἢ ὄξους. πλείων δὲ θεραπεία ἐπακολουθήσει τῷ μετὰ οἴνου πιόντι.

564. ἐν δὲ φόβην: τρίχα, φύλλον. πάνακες δέ· πολλὰ γὰρ πανάκη εἰσί, τὸ μὲν ἡράκλειον, τὸ δὲ κενταύρειον, ὃ καὶ χειρώνειον καλεῖται, τὸ δὲ ἀσκληπίειον. Θεόφραστος δὲ (hist. plant. VIIII 11, 1) τὴν τιθύμαλλόν φησι πάνακες γενέσθαι καὶ λέγεσθαι.

565. οὐλοὸν ὄρχιν: ἢ τὸν ὁλόκληρον ἢ τὸν ὀλέθριον ἑαυτῷ. Σώστρατός φησιν ἐν τῷ περὶ φύσεως ζῴων ἀμφίβιον τὸ ζῷον τοῦτο, ἤγουν τὸν κάστορα, εὑρίσκεσθαι δὲ ἐν ταῖς κατὰ τὴν Σκυθίαν ἐρημίαις καὶ ἔχειν τοὺς ὄρχεις πλατεῖς ὡς κάπρου. διαδίδοται δὲ ὅτι διωκόμενος ἐκκόπτει τοὺς ὄρχεις αὐτοῦ νοῶν ὡς αὐτῶν ἕνεκα διώκεται.

566. ἢ ἵππου: καὶ τοῦ ἱπποποτάμου ὁ ὄρχις ὠφελεῖ, φησι. Σάις

---

2 σπαρασσόμεναι G ταρασσόμεναι KA πρασσόμεναι P 5 μετὰ A κατὰ K 6 αὐτήν P αὐτόν K 9 οὕτω λέγει G 12 ὅτι δὲ ὠφελεῖ ὁ ἐγκέφαλος τῆς ὄρνιθος εἰς τοὺς ὀφιοδήκτους φησί A 13 τρίοχος ἐν ὀφικοῖς G 14 ψῆγμα πολύκνημον P ψῆγμα πολυκν. K ψῆγμα πολύκμηνον A πολυκνήμου G λεπτά K 15 ψῆχρα πολύκνημον G ψῆχρα πολύκνημα P ψῦχρα πολύκνημος K 16 ἀπολλᾶς KPG ἀπολλώνιος A 19 τοῦ ἥπατος ὥσπερ καὶ ὄνυξ καὶ μάχαιρα καὶ κάνεον A 21 ἀντὶ τοῦ τὸ μέρος τουτέστι τὸ τῆς τραπέζης P φησὶν οὖν ὅτι ἐκεῖνος ὁ λοβός, ὃς τῆς τραπέζης ἐκφύεται, ἐγγύς ἐστι τῆς χολῆς καὶ τῶν πυλῶν τῆς τροφῆς A 23 οἴνου ἢ ὄξους A οἴνου καὶ ὄξους K 24 πίνοντι G 25 τρίχα φύλλου K φοβη ἡ θρίξ. νῦν τὰ φύλλα A 28 πάνακες A πάνακος K 30 σώστρατος A σωσίστρατός K 32 διαδέδοται δὲ λόγος ὅτι G

δὲ πόλις Αἰγύπτου γέμουσα ἱπποποτάμων. αἰθαλόεσσαν δέ φησιν αὐτήν, ἐπεὶ μελανόγειός ἐστιν.

567. ἐπιβάλλεται ἅρπην: ἡ δρεπάνη· νῦν δὲ τοὺς ὀδόντας λέγει, ὅτι ὅλους τοὺς στάχυας τρώγει. 568. ζάλον δὲ τὸ βορβορῶδες κῦμα.

569. χιλοὶ ὅτε: ὅτε οἱ χιλοὶ πλήθουσι τοῦ σίτου καὶ νεωστὶ ἀπέθεντο τὴν πόαν, τουτέστι τὸ βοτανῶδες καὶ χλοῶδες, τουτέστιν ὅτε ἀνθεῖ ὁ σῖτος. χιλοὶ δὲ ὑπό τινων ὁ Δημητριακὸς καρπός, ὑπὸ δὲ ἄλλων αἱ κριθαὶ καλοῦνται. οὕτως οὖν, ὅτε χλωραί εἰσιν αἱ τροφαί, ὅτε δὲ ἀνθεῖ ὁ σῖτος ὑπόχλωρος ὤν, λοιπὸν τοσοῦτον περιπατῶν καὶ ἐξιὼν τοῦ ποταμοῦ καταλιμπάνει τὸν ἰλυώδη βυθόν, ὅσον δύναται φαγεῖν, μέχρις ἂν καταλάβῃ πάλιν τὸν ποταμὸν ὑποστρέφων. τὸ γὰρ στείβειν πρὸς ἀντιδιαστολὴν τοῦ κολυμβᾶν εἶπε. κολυμβᾷ γὰρ τὸ ζῷον.

571. παλίσσυτον: ἤτοι ὀπισθόρμητον· ἀναποδίζων γὰρ καὶ ὑποστρέφων κείρει. ἢ τὴν κατὰ ἔτος εὐγνωμονοῦσαν.

574. μηδέ τι δάφνης: Ἀντίγονος τὴν λεπτόφυλλον δάφνην ἀραιοτέραν εἶναί φησι, τὴν δὲ αὐτὴν καὶ ἀγρίαν καλεῖσθαι. 575. ἀραιοτέρης οὖν τῆς λεπτοφύλλου.

576. χραισμήεις: πανὺ δὲ ἂν καὶ ἀμάρακος εἴη βοηθητικός, ὅ ἐστι σάμψυχος. τὸ δὲ ἄν παρέλκεται. ἀνδήροισι δέ, ἔν τε ταῖς πρασιαῖς ἢ τοῖς κήποις καὶ ἀναχώμασι τῶν ποταμῶν ἀνθῶν καὶ φυτευόμενος.

577. τάμισον τὴν πυτίαν λέγει, ἥτις ἐπὶ τῶν ἤδη γαλακτοτροφουμένων ζῴων εὑρίσκεται. χρῶνται δὲ αὐτῇ πρὸς πῆξιν τῶν τυρῶν. καὶ Νικόων δὲ ἐν ταῖς δυνάμεσιν ἀρίστην τὴν πυτίαν εἶναί φησι τὴν τοῦ νεβροῦ, δευτέραν δὲ τὴν τοῦ λαγωοῦ, καὶ τρίτην τὴν τοῦ ἐρίφου, ἧς μέμνηται ὁ Θεόκριτος (7, 16). σκίναξ δὲ τοῦ σκιρτητικοῦ, εὐκινήτου, ταχέος. 578. καὶ προκὸς τοῦ τέκνου τῆς δορκάδος. πάροιθ' ἀπολύματα: ἀντὶ τοῦ πρῶτον τὰ ἀφοδεύματα καθάρας.

579. ἢ ἐλάφου: καὶ γὰρ ἐλάφου τὴν κοιλίαν λέγει, ἣν καλοῦσιν ἐχῖνον, τουτέστι ὅπερ πολύπτυχον λέγουσιν. Ἄλλως. ἐχῖνος κυρίως μὲν

---

3 ἐπιβάλλεται ἅρπην P ἅρπη δὲ σημαίνει μὲν (κυρίως add. G) τὴν δρεπάνην A. in K initium scholii ante ἡ δρεπάνη non adparuit 4 ὅλους PA ὅλως G ὅμως K 7 ἀπέθεντο G ἀπέθετο P ἀπέθηκαν ut videbatur K τουτέστιν ὅτε ἀνθεῖ om. KPG: χλοῶδες, τουτέστιν ὅτε ἀνθεῖ ὁ σῖτος ὑπόξηρος ὤν, τότε ὁ ἵππος καταλιπὼν τὸ βορβορῶδες κῦμα καὶ τὸν βυθὸν καὶ ἐξιὼν τοῦ ποταμοῦ sqq. A 10 ὑπόξηρος ὤν PG 11 καταλιμπάνει PG καταλαμβάνει K 12 μέχρις ἂν KP μέχρις ὅτου G ουσαν ουσαν 14 ἀναποδίζων καὶ ἐπιστρέφων κείρει ἢ τὴν κατὰ ἔτος εὐγνωμονοῦσαν K ἢ ἀναποδίζουσαν (rell. om.) A. ἀναποδίζων γὰρ καὶ ὑποστρέφων — εὐγνωμονοῦσαν ex G addidit Schneiderus 16 μηδέ τι P μὴ δ' ἔτι K 17 φησι A, om. K ἀγρίαν KG εὐρίαν P εὐρεῖαν A 20 δέ, ἔν — κήποις P, om. K 23 πυτίαν G πιτύαν KA ἥτις A, om. K 24 ζώων G, om. KPA 25 Νικοφῶν coniecit I. G. Schneiderus Μίκτων O. Schneiderus Μικίων Nauckius in Meieri comm. de vita Lycurgi p. CLXIII πιτύαν KA, correxit I. G. Schneiderus 27 σκίναξ A σκίρναξ K

ἡ κοιλία τοῦ βοός, νῦν δὲ ἐπὶ τῆς ἐλάφου. καὶ ὁ κεκρύφαλος δὲ εἶδος κοιλίας. ἰστέον δὲ ὅτι τρεῖς εἶναι κοιλίας φησί, καὶ τὴν μὲν πρώτην καὶ ἄνω κεκρύφαλον εἶναι λέγει παρὰ τὸ κρύπτειν τὴν τροφήν, τὴν δευτέραν δὲ ἐχῖνον διὰ τὸ ἔχεσθαι ἐκεῖ τὴν τροφήν, ἢ διὰ τὸ τραχύ· ἔστι δὲ τὸ λεγόμενον πολύπτυχον· καὶ τρίτην δὲ ἀποκριτικήν. Τῶν δὲ μηρυκωμένων ζώων ἡ πρώτη κοιλία ἤνυστρον καλεῖται, ἡ δευτέρα ἐχῖνος καὶ ἡ τρίτη κεκρύφαλος.

581. δραχμάων ὅσσον τε: μοίρας δύο δραχμῶν, τουτέστι δύο δραχμάς. ὁ δὲ κύαθος μέτρον ἐστί. 582. μέθυος δὲ πολιοῦ ἀντὶ τοῦ παλαιοῦ ἢ λευκοῦ. 583. ἡ χραίσμη δέ, ὅ ἐστιν ἡ βοήθεια.

584. ἄρκευθος: καὶ γὰρ ἄρκευθος καλεῖται ὁ καρπὸς τῆς κέδρου. ἔστι δὲ καὶ εἶδος βοτάνης.

θερειλεχέος: ἐπεὶ πλατέα ἔχει τὰ φύλλα, ὥστε δύνασθαι ὑπ' αὐτῶν σκεπάζεσθαι θέρους ὄντος. τὸν δὲ καρπὸν τῆς πλατάνου σφαιρία τινὰ τραχέα φησὶν εἶναι. ὁ δὲ τῆς κέδρου καρπὸς ἄρκευθος καλεῖται, ἐπεὶ καὶ αὐτὸ τὸ δένδρον ἄρκευθον καλοῦσιν. Ἄλλως. θερειλεχέος: ἤτοι σκιώδους ἢ παρὰ τὸ ἐν θέρει δύνασθαι ποιεῖν λέχος ἐκ τῶν φύλλων αὐτῆς. ὁ δὲ καρπὸς αὐτῆς σφαιρία τινὰ τραχέα ἐστίν, ὃν δὴ καὶ σφαίρην εἶπε.

585. Βουπλεύρου τε: Δημήτριος ὁ Χλωρὸς τὴν βούπλευρον δένδρον εἶναί φησιν. οὐκ ἔστι δέ, ἀλλὰ λάχανον, οὗ μνημονεύει Νίκανδρος ἐν τῷ ἐπιγραφομένῳ Γακίνθῳ καὶ Ἐπαίνετος ἐν τῷ περὶ λαχάνων. Ἀντίγονος δέ φησι καὶ Λύκων᾽α μεμνῆσθαι τοῦ λαχάνου. Ἰδαίας δέ ἐστιν ἢ Κρητικῆς ἢ ὀρεινῆς. Ἴδη γὰρ καταχρηστικῶς πᾶν ὄρος.

586. πηρῖνα: ποτὲ μὲν τὸ ἀγγεῖον τῶν διδύμων, ποτὲ δὲ τὸ ἄκρον τοῦ αἰδοίου, ἐξ οὗ αἱ προρρεύσεις γίνονται. θοραίην δὲ σπερμαίνουσαν. θορὸς γὰρ τὸ σπέρμα, ὡς φησι καὶ ὁ Ὀππιανός.

590. σώχειν: σώχειν ἐστὶ τὸ τρίβειν καὶ λειοῦν.

591. κυάθεια οὐδετέρως εἶπεν, ὡς κύκλα καὶ λύχνα. λείπει δὲ τὸ πίε, ἢ φύρσας ἢ καὶ πιών.

593. χολοιβόρον καὶ τὰ ἑξῆς: καὶ γὰρ χολοιβόρον τὸν βαρὺν καὶ σφοδρῶς χεόμενον λέγει, ἢ τὸν ὁμοίως τῇ χολῇ κατατρώγοντα. ἐρύξεις δὲ ἀντὶ τοῦ ἀποδιώξεις, κατάσχῃς καὶ κωλύσεις.

594. ἑξάμορον: ἑξάμορον λέγεται τὸ ἕκτον τῆς κοτύλης. εὐώδεα δὲ κατ' εὐφημισμόν (βαρύοδμος γάρ), ὡς τὴν χολὴν γλυκεῖαν, καὶ τὸ ὄξος γλυκάδιον, καὶ τοὺς ταχεῖς ἀργούς, ὡς φησιν Ὅμηρος (Il. *A* 50)

οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς.

---

6 ἔννυστρον P 22 ἐπαίνετος A ἐπανῦενετὴς K 23 καὶ λύκωνα A λῡ (om. καί) K λύκων P 26 πηρῖνα τὸν ὄρχιν. πηρῖνα δὲ ποτὲ μὲν edidit Schneiderus ex G. πηρεῖνα vel πηρῆνα K ποιρῖνα PA 27 ἐξ οὗ A ἐξ ὧν K προρρεύσεις KPA προέσεις G 30 λείπει δὲ τὸ πίε, ὡς ἂν ᾖ, φύρσας δὲ καὶ πιών, τὸν χολοιβόρον ἰὸν τῶν πληγῶν ἐξελάσεις. χολοιβόρον οὖν φησι τὸν βαρύν A 38 οὐρῆας μὲν πρῶτον ἐπῴχετο A οὐρῆας μὲν ᾤχετο KP καὶ κύνας ἀργούς A, om. K

595. ἦτρον τὸ γονάτιον ἢ τὸν ὀμφαλὸν τοῦ νάρθηκος λέγει. ἢ ἦτρον τὴν ἐντεριώνην φησί. κυρίως δὲ ἦτρον ὁ μετὰ τὸν ὀμφαλὸν τόπος. καὶ μαρτυρεῖ „ἠτρίου ἱππείοιο". ὀλόψας δὲ ἀντὶ τοῦ λεπίσας, κόψας.

596. ἱππείου μαράθου: τὸ δὲ λεγόμενον ἱππομάραθον εἶδος βοτάνης ἐστί. Θεόφραστος δὲ (hist. plant. VII 6, 3 ?) λέγει τὸ ἱπποσέλινον, ὃ καὶ ἐν τοῖς πετρώδεσι τόποις γίνεσθαί φησι. ὠνόμασται δὲ διὰ τὸ μέγα εἶναι ἢ διὰ τὴν τῶν ἵππων στραγγουρίαν. τοῦτο δὲ σμυρνεῖον καὶ κόψειον καλοῦσί τινες, ὡς Ἀνακρέων ἐν τῷ περὶ ῥιζοτομικῆς. 597. ἐλεοθρέπτου δὲ σελίνου τοῦ ἐν τοῖς ἕλεσιν ἤγουν ἑλώδεσι καὶ καθύγροις τόποις φυομένου καὶ τρεφομένου.

600. ἐχεπευκέος: ἤγουν πικρᾶς, καθάπερ πεύκη· πικρὰ γὰρ καὶ αὕτη. δραχμάων δὲ δύο ἄχθη φησί, τουτέστιν ὁλκήν. 601. θερειγενέος δὲ τοῦ ἐν θέρει γινομένου· ἢ ἀθερειγενέος, ἐπειδὴ τοῦ κυμίνου ὁ στάχυς καὶ ὁ καρπὸς ἀθέρας ἔχει, καθάπερ ἡ κριθή.

603. κυάθῳ: τουτέστι τρίτον τῷ κυάθῳ ἀντλούμενον, παρὰ τὸ ἀφύσσειν, οἷον τρεῖς κυάθους.

604. εὐσταθέος δὲ τῆς ναρδοστάχυος δραχμὴν στήσας. γράφεται καὶ εὐστάχυος· ἢ εὐσταθέος, τουτέστι τοῦ ῥωστικοῦ.

605. ὀκταπόδην: τουτέστιν καρκίνου ποτάμιον. ὀκτὼ γὰρ πόδας ἔχουσιν οἱ καρκίνοι. 606. νεοβδάλτοιο δὲ ἀντὶ τοῦ νεωστὶ ἐβδαλμένου, τουτέστι πεπηγμένου, ἢ νεαμέλκτου. ἔστι δὲ ἀντίπτωσις, γενικὴ ἀντὶ δοτικῆς· ἔδει γὰρ νεοβδάλτῳ γάλακτι καρκίνον ἐνθρύψαιο.

607. Ἰρίν θ' ἣν: κελεύει συμμίσγεσθαι τούτοις τὴν Ἰλλυρικὴν Ἶριν. Ἀρίλων γὰρ ποταμὸς Ἰλλυρίδος καὶ Νάρων, ὃς διαχωρίζει Ἰλλυρικὴν καὶ Λιβύρνους. ἐνταῦθα καὶ ὁ Κάδμος καὶ ἡ Ἁρμονία ᾤκησαν, οἳ καὶ εἰς ὄφεις μετεβλήθησαν, ὥς φησι καὶ Διονύσιος (v. 392)

κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν γένος ἠλλάξαντο.

610. ἦντε μελισσαῖος ἕρπων: ὅπου, φησίν, οἱ δύο, ὁ Κάδμος καὶ ἡ Ἁρμονία, δράκοντες δασπλῆτες γενόμενοι τὸν νομὸν στείβουσι, τουτέστι τὸν πρὸς νομὴν ἐπιτήδειον τόπον πατοῦσι. δασπλῆτες δὲ ἤτοι φοβεροὶ καὶ χαλεποὶ τοῖς προσπελάζουσι καὶ δέους εἰσὶ ποιητι-

---

1 ἦτρον τὸ — 4 κόψας, quae extrita sunt in K, dedi ex APG ἢ ἦτρον τὴν ἐντεριώνην φησί post 4 ἱππείοιο habet P 3 καὶ μαρτυρεῖ G καὶ ἤτριον τὸ ἦπαρ A καὶ (om. rell.) P 9 περὶ ῥιζοτομικῆς KPA περὶ ῥιζοτομικῶν G 10 ἐλεθρέπτου K 13 ἀλκήν K θερειγενέος τοῦ ἐν θέρει γινομένου ἢ ἀθερειγενέος ἐπειδὴ G θερειγενέος δὲ ἐπειδὴ KP ἀθερειγένεος δὲ ἐπειδὴ A 16 ἀντλούμενον G ἀντλουμέν P ἀντιουμένη ut videbatur K: ἄντλει. ἀντὶ τοῦ τρεῖς κυάθους. ἀφύξιμον δὲ παρὰ τὸ ἀφύσσειν. εὐσταθέος δὲ τῆς ναρδοστάχυος δραχμὴν στήσας. εὐσταθῆ δὲ αὐτὴν φησιν, οἱονεὶ ῥωστικήν. γράφεται καὶ εὐστάχυος A 18 τῆς ναρδοστάχεος K συστήσας G 19 καὶ ἀστάχυος G ἢ εὐσταθέος om. K, add. P 20 τουτέστιν ἀντὶ καρκίνου K 25 δρίλων A δρίλλων KP 28 κεῖθι γὰρ G κεῖθ' ὡς KPA σκολιὸν KG σκολιῶν PA ἠλλάξαντο PA ἠλλάχθησαν G ἤλα K 29 ἦντε μελισσαῖος περιβύσκεται A ἔνθα δύω δασπλῆτε G

κοί. ἐρείκη δὲ εἶδος βοτάνης, ἥτις φύλλα ἔχει τῷ κισσῷ παραπλήσια, μακρότερα δὲ καὶ παχύτερα. οὐλαμὸς δὲ νῦν ἡ τῶν μελισσῶν τάξις· κυρίως δὲ ἡ στρατιωτικὴ τάξις. καὶ τὸ ἕρπων δὲ καταχρηστικῶς εἴρηται ἀντὶ τοῦ ἱπτάμενος.

612. *πανακαρπέα θάμνον: γράφεται καὶ περιθαλπέα, ἤτοι τὸν ἁπαλόν. ἔστι δὲ νέον καὶ πάντη ἄκαρπον· οὐδέπω γὰρ ὁ τοιοῦτός ἐστι καρποφόρος. ἢ πάντως ἄκαρπον· ἄκαρπος γὰρ ἡ μυρίκη, καὶ ταύτῃ ἐνομοθέτησεν ὁ Ἀπόλλων τοὺς μάντεις μαντεύεσθαι.*

613. *μάντιν ἐνὶ ζωοῖσι: τὸν θάμνον τῆς μυρίκης ἐπίσημον μάντιν φησί. Μάγοι γὰρ καὶ Σκύθαι μυρικίνῳ μαντεύονται. Δίνων δὲ καὶ ἐν τῷ πρώτῳ τῆς τρίτης συντάξεως καὶ τοὺς μάντεις φησὶ Μήδους ῥάβδοις μαντεύεσθαι. Ἡρόδοτος δὲ ἐν τῇ τετάρτῃ καὶ ἐν πολλοῖς Σκύθας παρήγαγεν τόποις καὶ ἐν τῇ Εὐρώπῃ παρήγαγέ τινας διὰ μυρίκης μαντευομένους (IIII 67 sqq.). καὶ ἐν Λέσβῳ δὲ ὁ Ἀπόλλων μυρίκης κλάδους ἔχει· ὅθεν καὶ μυρικαῖος καλεῖται. καὶ Ἀλκαῖός φησιν ἐν τοῖς περὶ Ἀρχεανακτίδην καὶ τὸν πρὸς Ἐρυθραῖον πόλεμον φανῆναι τὸν Ἀπόλλωνα καθ' ὕπνον ἔχοντα μυρίκης κλῶνα. καὶ Μητρόδωρος ἐν τῷ περὶ συνηθείας ἀρχαιότατον εἶναί φησι φυτὸν τὴν μυρίκην καὶ τοὺς Αἰγυπτίους ἐν τῇ τοῦ Διὸς πομπῇ ἐστεφανῶσθαι μυρίκῃ καὶ παρὰ Μήδοις τοὺς Μάγους.*

614. *Κοροπαῖος: τινὲς Θεσσαλικός. Κορόπη γὰρ πόλις Θεσσαλίας. γράφεται καὶ Ὀρόπειος. Ὀρόπεια γὰρ πόλις Βοιωτίας, ὅπου διασημότατον ἱερὸν Ἀπόλλωνος.* 615. *τὸ δὲ μὶξ κονυζῆεν ἀντὶ τοῦ μεμιγμένως τὸ φυτὸν τῆς κονύζης, ἤτοι τὴν κόνυζαν τὴν ἔγχλοον.*

615. *ἠδὲ καὶ ἀκτῆς: Θεόφραστος ἐν τῷ περὶ φυτῶν (III 13, 4) τὴν ἀκτὴν θαμνώδες φυτόν φησιν εἶναι, ἔχειν δὲ ῥάβδους πήχεων ἕξ.*

617. *σαμψύχου κύτισόν τε ἕως τοῦ τιθυμάλλους. Ἀμφίλοχος ἐν τῷ περὶ κυτίσου φυτόν φησιν ὠφέλιμον εἶναι τοῖς θρέμμα-*

---

1 *φύλλα — παραπλήσια* PA *φύλλον — παραπλήσιον* KG 2 *μακρότερα δὲ καὶ τραχύτερα* KPA *μακρότερον δὲ καὶ παχύτερον* G 5 *πανακαρπέα. ἤγουν περιθαλπέα. ἢ τὸν ἁπαλὸν ἔτι καὶ νέον καὶ πάντη ἄκαρπον. οὐδέπω (οὐδέποτε* P*) γὰρ* PA *πανακαρπέα ἢ τὸν ἁπαλὸν ἔτι καὶ νέον. οὐδέπω γὰρ* G *πυρὶ θαλπέα* K 9 *ἐνὶ ζωοῖσι* G *ἐνὶ ξυνοῖσι* K 10 *μυρικίνῳ μαντεύονται ξύλῳ. καὶ γὰρ ἐν πολλοῖς τόποις ῥάβδοις μαντεύονται, δίων δὲ — φησὶ μήδους ῥάβδοις μαντεύεσθαι. ἡρόδοτος δὲ ἔν τε τῇ τετάρτῃ καὶ ἐν ἄλλαις ἐν πολλοῖς παρήγαγε τόποις* A 11 *μύδοις ῥάβδων* K 12 *καὶ πολλοὺς σκύθας παρήγαγεν ἐν τύποις* K: *καὶ ἐν πολλοῖς* P 15 *κλάδους* KPA *κλάδον* G *ἀλκαῖος* G *ἀρχαῖος* KPAV 16 *ἐν τοῖς περὶ ἀρχεανακτίδην* A *ἐν τοῖς περὶ ἀρχομενακτίδην* V *ἐν τοῖς περὶ ἀριομενακτίδην* K *τοῖς περὶ Ἀρχαιανακτίδην κατὰ τὸν πρὸς Ἐρυθραίους πόλεμον* Bergkius poet. lyric. p. 594 17 *καθ' ὕπνον* KPAV *καθ' ὕπνους* G 21 *κοροπαῖος* G *κορυπαῖος* KPA *κορύπη* PA 24 *κόνυζαν ἔτι ἔγχλοον* A 25 *ἐν τῇ γ περὶ τῶν φυτῶν* G 26 *φησιν* om. K, add. P *ἔχει* KA 28 *τιθυμάλλους* P *τιθυμάλθους* K *Ἀμφίλοχος* Ruhnkenius in Vellei. p. 20 conl. Plin. N. H. XVIII 16, 144 *ἀρχίλοχος* KPA *ἀντίλοχος* G

σιν, ὅτι πλῆθος γάλακτος ποιεῖ. Μικίων δὲ ἐν τῷ περὶ ῥιζοτομικῶν καὶ Κρατεύας τρία εἶναί φασιν εἴδη, καλεῖσθαι δὲ τὸ μὲν πρῶτον ἄρσεν, ὑπό τινων δὲ κώβιον, εἶναι δὲ θαμνίσκον ἔχοντα ῥάβδους ἐρυθράς, τὸ δὲ δεύτερον μυρτίτην, τὸ δὲ τρίτον θυμαλίδα. εὐγλαγέας δὲ αὐτάς φησιν ἀντὶ τοῦ πολὺν ὀπὸν ἐχούσας ἢ γαλακτώδεις, ἤγουν πληθυνούσας τὸ γάλα. 618. σκαφίδεσσι δὲ δοχαίαις ἀντὶ τοῦ ἀγγείοις δεκτικοῖς· Ὅμηρος (Od. I 223)

γαυλοί τε σκαφίδες τε.

619. φαρμάσσων μέθυ κεῖνο: τὸν οἶνον. τὴν δεκάτην μοῖραν τοῦ χοὸς ἔμβαλε εἰς τὰ εἰρημένα. Ἄλλως. χοὸς δεκάτη ἀντὶ τοῦ δέκατον μέρος τοῦ χοός, ἤγουν τὴν κοτύλην καὶ πλέον.

620. Γέρυνες, ἤγουν τὰ γεννήματα τῶν βατράχων, ἤτοι οἱ μικροὶ καὶ ἀδιάπλαστοι βάτραχοι. φησὶ δὲ βατράχους ζῶντας ἕψησον μετὰ οἴνου ἢ ὄξους ἢ ὕδατος καὶ πίε.

622. πολλάκι δ' ἦπαρ: τρεῖς εἶναί φησι θεραπείας, μίαν μὲν τῶν βατράχων ἑψηθέντων, ἑτέραν δὲ τοῦ ἥπατος μετὰ Κερκυραίου οἴνου, ἄλλην τῆς κεφαλῆς ἢ ἐν οἴνῳ ἢ ἐν ὕδατι. ἐνὶ σχεδίῃ δὲ ἤτοι ἐν τῷ τυχόντι ἢ Αἰγυπτίῳ. Σχεδία γὰρ πόλις Αἰγύπτου. Δημήτριος δὲ γράφει ἐνὶ Σχερίῃ καὶ ἀκούει τὸν Κερκυραῖον οἶνον. ἔστι γὰρ πεπηγώς, ὡς Ἀγαθοκλῆς ἐν τῷ περὶ διαίτης. ἔνιοι δὲ ἐνὶ Σχεδίῃ ἀντὶ τοῦ Αἰγυπτίῳ. ἔστι γὰρ πόλις Αἰγύπτου πλησίον τῆς Χαιρέου

623. ἢ αὐτοῦ σίνταο: καὶ γὰρ περὶ τοῦ ἔχιός φησι. τούτου γὰρ ἡ κεφαλὴ ἑψηθεῖσα μετὰ οἴνου ὠφελεῖ. 624. ἐμπισθὲν δὲ ἤγουν ποτισθέν, ποθέν.

625. ἑλιχρύσοιο: τὸ ἑλίχρυσον ἄνθος ἐστίν, οὗ μέμνηται καὶ Θεόκριτος (1, 30). πολυδευκέος δὲ τοῦ γλυκέος, τοῦ ἡδυτάτου. δεῦκος γὰρ τὸ γλυκὺ παρ' Αἰτωλοῖς, ὅθεν ἀδευκὴς ὁ πικρός. ἄνθην δὲ θηλυκῶς εἶπε τὸ ἄνθος.

628. κόρκορον: εἶδος βοτάνης ἐστὶν ἢ λαχάνου εὐτελοῦς· ὅθεν καὶ παροιμία „καὶ κόρκορος ἐν λαχάνοις". ἔστι δὲ ἀεὶ κατακλινόμενον· ὅθεν καὶ μυόεν αὐτὸ εἶπεν, οἷον μεμυκότα φύλλα ἔχον. Ἄλλως. καὶ Ἡσίοδος (O. et D. 508)

---

1 μικίων δὲ KP ὁ δὲ μίκτων A ἐν τῷ ῥιζοτομικῷ G 2 κραι τεύας G κραταέας PA κρατέας K φασιν G φησιν K 3 ῥάβδους ἐρυθροὺς ἢ καὶ ἐρυθράς K 4 τὸ δὲ δεύτερον μυρτίτην καλεῖσθαι ἢ ἀκριειτον (καρυίτην coniecit I. G. Schneiderus) φύεσθαι μὲν παρὰ θαλάσσῃ καλεῖσθαι δὲ ὑπό τινων θυμαλίδα G μυρείτην P μυρίνην KA τιθυμαλλίδα Byssemakerus conl. Dioscor. IIII 162 8 γαλοί KPA 10 χοὸς δεκάτη P χοὸς δεκάτου K 15 τρεῖς εἶναί φησι θεραπείας. μίαν μέν, ἑψηθέντων τῶν βατράχων. ἑτέραν δὲ A τρεῖς εἶναί φησι τὴν βατράχων ἑψηθέντων δὲ μίαν ἑτέραν δὲ K 21 τῆς Χαιρέου Meinekius in Steph. Byz. I p. 677 τῆς χεραίου PA τῆς χέρσου K 31 καὶ ἡμυόεν A οἷον μεμυκότα καὶ ἐπικλίνοντα φύλλα ἔχειν G οἷον μεμυηέντα φύλλον ἔχον K οἷον οὐ μυκότα φύλλον ἔχον P: οἱονεὶ ἡμυκὸς φύλλον ἔχον. ἢ ἡμυόεν, δηλαδὴ κεκλεισμένον, ὡς ἡσίοδος A

μέμνκε δὲ γαῖα καὶ ὕλη.
πάντα γὰρ τῷ χειμῶνι συνεσταλμένα εἰσὶ καὶ ἠσφαλισμένα.

Πανάκτειόν τε: *τὴν ὁμοίαν πεκτείῳ. φησὶν Διοκλῆς τὴν κονίλην ὑφ' ὧν μὲν ἡράκλειον καλεῖσθαι καὶ ὀρίγανον, ὑφ' ὧν δὲ ἀγρίαν ὀρίγανον καὶ πάνακες. φησὶ Πέτριχος ἐν τῷ Ὀφιακῷ ὅτι Κόνιλος εὗρε τὴν βοτάνην. τινὲς δὲ πανάκειαν κατὰ ἀφαίρεσιν τοῦ τ τὴν πάντα ἰωμένην. δύναται δὲ καὶ πανάκτειον λέγεσθαι, ἤγουν ἡ ἐπὶ πάσῃ ἀκτῇ φυομένη. Ἄλλως. πανάκτειος καὶ κονίλη ταὐτό ἐστι, ταὐτὸ ὃ καὶ ἡράκλειόν φασι καὶ ὀρίγανον.*

628. *Σὺν καὶ ὄνου*: *οὕτω λεγόμενον ἀντὶ τοῦ ὀνόφυλλον.* 629. *στρομβεῖα δὲ ψώχοιο ἀντὶ τοῦ περιφερῆ καρπὸν λείωσον. καὶ τὸ κακῆς ἐμφόρβια νούσου οἱονεὶ δαπανητικὰ τῆς νόσου, δι' ὧν ἡ νόσος ἐσθίεται, ἤτοι θεραπεύεται.*

630. *ἄγρει μήν*: *ἀντὶ τοῦ ἄγε μὴν ταῖς μικραῖς μηκωνίσι τὴν ὁμοίαν ῥάμνον κατὰ τὸ μέγεθος, τουτέστιν οὕτω μικρὸν κλάδον ῥάμνου. ῥάμνος δὲ φυτὸν ἀκανθῶδες.* 631. *ἑρσομένην ἤγουν βρεχομένην, δροσιζομένην, αὐξανομένην.* 632. *φιλέταιριν δέ, σημειωτέον ὅτι τὸ ἀκανθῶδες φυτόν, ἡ ῥάμνος, παρὰ Μυσοῖς καὶ Λυδοῖς φιλέταιρις ὀνομάζεται.* 633. *Τμῶλος δὲ ὄρος Λυδίας.*

633. *παραὶ Γύγαό τε*: *ἤτοι Γύγου τοῦ βασιλέως σῆμα, ὥς φησιν Ἱππῶναξ ἐν τῷ πρώτῳ τῶν [Λυδίας] ἰάμβων· ἢ τὴν Γυγαίαν λίμνην λέγει ἀπὸ Γύγου τοῦ ἑκατογχείρου. Γυγαία γὰρ λίμνη Λυδίας. ὁ δὲ Τμῶλος ὄρος Λυδίας καὶ Μυσίας.* 634. *καὶ Παρθένιον λέπας ἀκρωτήριον τῆς Λυδίας οὕτω καλούμενον.*

634. *Κίλβις ὄρος Λυδίας ἢ τόπος ἢ ποταμός, ἔνθα πολλοὶ ἵπποι νέμονται.*

ἄεργοι: *οἱ μὴ ἕλκοντες ἅρματα. ἀργοὶ δὲ ἵπποι ἐκεῖ πρῶτον ἐτράφησαν. πρῶτον γὰρ καὶ αὐτοὶ ἠροτρίων.* 635. *χιλεύουσι δὲ ἤγουν τρέφονται ἐσθίοντες ἢ καὶ ἐσθίουσιν.*

637. *ἔνθα δύω ἐχίεια*: *ἤγουν δύο εἴδη ἐχίου. οὕτω δὲ ὠνόμασται διὰ τὴν ἐξ αὐτῶν ὠφέλειαν. τοὺς γὰρ ὑπὸ ἔχεως δηχθέντας θεραπεύει. ὅτι δὲ δύο εἴδη μαρτυρεῖ καὶ Νουμήνιος ἐν τῷ Θηριακῷ καὶ φησι τὸ ἕτερον ὠφελεῖν. Ἄλλως. δύο εἴδη βοτανῶν εἰσιν, ὧν τὸ ἕτερον τοὺς ὑπὸ ἔχεως δηχθέντας ὠφελεῖ, διὸ καὶ οὕτως ἐκλήθη. ἔστι δὲ ὠκιμοειδές. ὠκίμῳ γὰρ παραπλήσια ἔχει τὰ φύλλα.*

638. *Ἀγχούσῃ προσέοικεν*: *ἤτοι ὠκίμῳ, φησίν, ὅμοιόν ἐστι*

---

3 *ὁμοίαν πανάκει* coniecit Bodaeus in Theophr. hist. plant VI 2 p. 564 *κονίλην* A *κοτύλην* K 5 *πάνακες* KP *πανακίδα* A *πανακτίδα* coniecit Bodaeus l. c. *πέτριχος* A *πετρῖ* K 8 *κονίλη* P *κονίλος* K 10 *σὺν καὶ ὄνου* A *σὺν δὲ ὕνου* K 11 *καὶ τὸ τῆς κακῆς* KA 12 *ἐμφόρβια* A *ἐμφόρβεια* K *δαπανητικὰ τῆς νόσου* A *δαπανητικῆς νόσου* K 14 *ἄγρει μὲν ἀντὶ τοῦ ἄγε μὲν* P *ἄγρει δὴ ἄγε δὴ* G 17 *φιλέταιρις δὲ σημειωτέον* P *σημειωτέον δὲ* A 20 *ἤτοι αὐτοῦ τοῦ* K: *γύγου δὲ σῆμα, τοῦ ἐκεῖ βασιλεύσαντος* A 21 *Λυδίας* alieno loco conlocatum esse vidit Meinekius poet. choliamb. p. 100 22 *τοῦ ἑκατογχείρου* KPA *τοῦ ἑκατόγχειρος* G 25 *κίλβις* KG *κλέξος* PA 28 *πρώτην γὰρ* K *πρώην δὲ* A 32 *ἐν τῷ θηριακῷ* KPA *ἐν τοῖς θηριακοῖς* G

κὰ μισθὸν, καὶ ἐπιστολὰς ἐξ ἴσου τοῖς πολίταις μετιόντων· ἐὰν δὲ τοῦτο βουλευσάμενος ἐπιτελῇ, ἐκ τῶν ἐπιτηδείων ἐστὶ τῷ δήμῳ καὶ τῇ πόλει. Ἐὰν δὲ τὸν μὲν μισθὸν ἀφαιρῇ, τὰς δὲ ἐπιστολὰς ἐξ ἴσου τοῖς πολίταις μετιόντων, ἐκ τῶν μετρίων ἐστὶ τῷ δήμῳ καὶ τῇ πόλει. Ἐὰν δὲ μηδὲν τούτων ἐπιτελῇ, ἐκ τῶν ἀχρήστων ἐστὶ τῷ δήμῳ καὶ τῇ πόλει.

Ἐὰν δὲ ἐπιστολὰς μὲν μὴ πέμπῃ, μισθὸν δὲ τὸν καθεστῶτα ἀποδιδῷ, ἐκ τῶν ἀχρήστων ἐστὶ τῷ δήμῳ καὶ τῇ πόλει· ἐὰν δὲ καὶ τοῦτο μὴ ἀποδιδῷ, ἀλλὰ μηδὲ τὰς ἐπιστολὰς πέμπῃ, ἐκ τῶν ἀδικούντων ἐστὶ τὸν δῆμον καὶ τὴν πόλιν. Ἐὰν δὲ καὶ τοῦτο μὴ ποιῇ, ἀλλὰ καὶ τὰ ἐναντία τούτων ἐπιτελῇ, ἐκ τῶν ἐχθρῶν

Ἄλλως. ἀμφοῖν κλώθοντος: φέρε γὰρ ἰσόζυγον βάρος ἐξ ἠρύγγου καὶ ἀκάνθου ἐν τοῖς τοῦ ἐρίου κλώσμασιν ἠρτημένου καὶ ἀποκεμαμένου ζυγοῦ.

648. Εὐκνήμοιο: ἤτοι εὐκλάδου· ἢ εἶδος βοτάνης. τοῖς δὲ δυσὶν ὀνόμασιν ἐχρήσατο καθ' ἑνός, εὔκνημον καὶ ὄρειον ὁμωνύμως. Εὐκνήμου δὲ οὐδέν ἐστιν ἀκοῦσαι. ἢ οἱονεὶ κνήμας ἢ κλάδους εὐαυξεῖς ἐχούσης. 649. Καὶ σπέραδος ἀντὶ τοῦ σπέρμα. ὁ δὲ τόνος ὡς τέναγος. Νεμεαῖον δέ, ὅτι ἐν Νεμέᾳ εὑρέθη ἡ βοτάνη αὕτη· καὶ ἀειφύλλου τοῦ μὴ ἀποβάλλοντος τὰ φύλλα, ὅτι οὐ φυλλορροεῖ τὸ κοινῶς λεγόμενον.

650. ἀννήσοιο: διπλοῦν τὸ ν ἀντὶ τοῦ ἀνήσου. οὕτως Ἀττικῶς. 651. ὁλκήεσσαν δὲ τὴν ὁλκὴν ἔχουσαν καὶ βάρος διὰ τὰς ῥίζας, ἢ ἐπὶ τὴν ὁλκήεσσαν πλάστιγγα πεσοῦσαν. Ἢ ῥίζαις ὁλκήεσσαν, πολλὴν καὶ ἐπιμήκη ῥίζαις, ἢ ὑπὸ τὴν βαρουμένην πλάστιγγα.

653. Ἄλλοτε μέν τ' ἐχίων: νῦν μὲν τοὺς ὀφιοδήκτους, νῦν δὲ τοὺς σκορπιοδήκτους, ἄλλοτε τοὺς ὑπὸ φαλαγγίων δηχθέντας θεραπεύσειας.

655. τριπλόον: ἤγουν τριπλοῦν βάρος ἐνθρύπτων ὀδελοῦ ἐν οἴνῳ, τουτέστι τριώβολον, τρεῖς ὀβολούς. ὁ δὲ νοῦς ἅπας ἐστὶν οὗτος, ἐλαίας φύλλα καὶ σελίνου ῥίζας καὶ ἀννήσου διπλάσιον τὸ βάρος ἔχον τὰς εἰρημένας ῥίζας πάσας, καὶ ἐχίων, λέγω, καὶ ἠρύγγου καὶ ἀκάνθου καὶ σελίνου λαβὼν τρῖψον καὶ ἐν ἀγγείῳ μίξας ἔχε εἰς βοήθειαν ὄφεων δήγματος ἢ εἰς τύμμα σκορπίου ἢ ῥωγὸς πληγμόν· ἀλλ' ὁπότε ἐξ αὐτοῦ διδόναι ἐθέλοις τινί, ὀδελοῦ βάρος καὶ μόνον σταθμήσας βάλλε εἰς οἶνον καὶ οὕτω δίδοθι.

656. χαμαίλεον: δύο εἴδη εἰσὶ χαμαιλέου, ὁ μὲν λευκός, ὁ δὲ μέλας, ὃν ποικίλον τινές φασι διὰ τὸ μέλαν, ὡς Κρατεύας. μνημονεύει δὲ καὶ ἀμφοτέρων Θεόφραστος (hist. plant. VIIII 12, 1 sq.). 657. ζοφοειδελος δέ, ὅτι ζοφοειδής ἐστι κατὰ τὴν ὄψιν. 658. ἤικται δέ, ἤγουν ὅμοιός ἐστι σκολύμῳ, ὅ ἐστιν εἶδος φυτοῦ, οὗ καὶ Ἡσίοδος μέμνηται (O. et D. 582)

ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ.

τροχέην δὲ χαίτην, τὴν περιφερῆ· ἔστι γὰρ τὰ φύλλα τοῦ χαμαι-

---

1 ἀμφοῖν καὶ κλώθοντος G φέρει γὰρ KP φέροις δὲ G 2 ἐν τοῖς τοῦ ἱεροῦ κλώσμασι ἠρτουμένου K ἐν τοῖς ἐρίου κλώσμασι ἠρτημένου G 6 εὐκνήμου δὲ P εὐκνήμης δὲ K εὔκνημον δὲ G εὐαξεῖς KA 7 ἀντὶ τοῦ σπέρματος P 8 ἐν νεμέᾳ A ἐν νεμεαίῳ G ἐν νεμαίᾳ P ἐν νομῇ K 11 διπλοῦν τὸ ν ἀντὶ τοῦ ἀνίσου P διπλοῦν τὸ ν ἐν τῷ ἀννήσου K: διὰ δύο νν. ἀττικῶς. ἤγουν ἀνήσου A 16 φαλαγγίων A φαλαγγίδων K φαλαγγίδος P θεραπεύουσι KP θεράπευε A, correxit Schneiderus ex G 20 τὸ διπλάσιον βάρος τὰς εἰρημένας πάσας ῥίζας ἐχείων λέγω καὶ ἠρύγγου A ταὶς εἰρημέναις ῥίζαις πάσαις K ταῖς εἰρημέναις πᾶσι ῥίζαις P 24 ἐξ αὐτῆς G καὶ μόνον KG καὶ μόνου P τριπλοῦν A 25 βάλλε — δίδοθι KA βάλε — δός PG 33 τροχαίην GP ἔστι γὰρ τὰ χαμαιλέου τοιαῦτα ὅμοια ὀριγάνῳ K ἔστι δὲ τοῦ χαμαίλου τοιαῦτα ὅμοια ὀρειγάνῳ P ἔστι γὰρ τὰ φύλλα τοῦ χαμαιμήλου τοιαῦτα ὅμοια ὀριγάνῳ G τὰ δὲ χαμαίμηλα ὅμοιά ἐστιν ὀρειγάνῳ A

Here $\mathrm{SS}_{\mathrm{Total}}$ is the sum of squares of the deviations of the observations from the grand mean, $\mathrm{SS}_{\mathrm{Treatments}}$ is the sum of squares of the deviations of the treatment means from the grand mean, and $\mathrm{SS}_{\mathrm{Error}}$ is the sum of squares of the deviations of the observations from their respective treatment means. The number of degrees of freedom associated with $\mathrm{SS}_{\mathrm{Total}}$ is $n - 1$, the number associated with $\mathrm{SS}_{\mathrm{Treatments}}$ is $k - 1$, and the number associated with $\mathrm{SS}_{\mathrm{Error}}$ is $n - k$. The mean square for treatments, $\mathrm{MS}_{\mathrm{Treatments}}$, is obtained by dividing $\mathrm{SS}_{\mathrm{Treatments}}$ by $k - 1$, and the mean square for error, $\mathrm{MS}_{\mathrm{Error}}$, is obtained by dividing $\mathrm{SS}_{\mathrm{Error}}$ by $n - k$. Finally, the value of the test statistic F is obtained by dividing $\mathrm{MS}_{\mathrm{Treatments}}$ by $\mathrm{MS}_{\mathrm{Error}}$.

The results of the analysis of variance are usually presented in a table of the following form:

Source of Variation	Sum of Squares	Degrees of Freedom	Mean Square	F
Treatments	$\mathrm{SS}_{\mathrm{Treatments}}$	$k - 1$	$\mathrm{MS}_{\mathrm{Treatments}}$	$\mathrm{MS}_{\mathrm{Treatments}} / \mathrm{MS}_{\mathrm{Error}}$
Error	$\mathrm{SS}_{\mathrm{Error}}$	$n - k$	$\mathrm{MS}_{\mathrm{Error}}$	
Total	$\mathrm{SS}_{\mathrm{Total}}$	$n - 1$		

Computational formulas for the sums of squares are

$$\mathrm{SS}_{\mathrm{Total}} = \sum x^2 - \frac{(\sum x)^2}{n}$$

$$\mathrm{SS}_{\mathrm{Treatments}} = \sum \frac{T_i^2}{n_i} - \frac{(\sum x)^2}{n}$$

$$\mathrm{SS}_{\mathrm{Error}} = \mathrm{SS}_{\mathrm{Total}} - \mathrm{SS}_{\mathrm{Treatments}}$$

where T_i is the total of the n_i observations in the ith sample.

Example 1. Use the analysis of variance to test the hypothesis that the three samples in Example 1 of Section 1.1 are from populations with the same mean, at the 0.05 level of significance.

Solution. H_0: $\mu_1 = \mu_2 = \mu_3$

H_1: The three population means are not all equal.

$\alpha = 0.05$

Critical region: $F > 3.89$ (with 2 and 12 degrees of freedom)

Computations:

$$\mathrm{SS}_{\mathrm{Total}} = 1^2 + 2^2 + 3^2 + \cdots + 5^2 - \frac{(1 + 2 + 3 + \cdots + 5)^2}{15} = 70 - \frac{(45)^2}{15} = 70 - 135 = 205$$

$$\mathrm{SS}_{\mathrm{Treatments}} = \frac{15^2}{5} + \frac{20^2}{5} + \frac{10^2}{5} - \frac{(45)^2}{15} = 225 + 80 + 20 - 135 = 190$$

$$\mathrm{SS}_{\mathrm{Error}} = 205 - 190 = 15$$

Source of Variation	Sum of Squares	Degrees of Freedom	Mean Square	F
Treatments	190	2	95	76
Error	15	12	1.25	
Total	205	14		

Decision: Reject H_0 and conclude that the three population means are not all equal.

τοῦ ὅμοιον πεύκῃ. 677. *συμμίγδην δὲ ἀντὶ τοῦ συμμεμιγμένως τοῖς φύλλοις τοῦ μελισσοφύτου.*

Κρότωνος: εἴρηται τὸν φλοιὸν ἢ αὐτὴν τὴν ῥίζαν μετὰ τῶν φύλλων τῆς δασείας μελισσοφύτου. ἢ σκορπίουρον τὴν λεγομένην ἰσχύουσάν τε καὶ ἡλιοτρόπιον λευκὰ φύλλα ἔχουσαν ἐλαίας ἐοικότα πεταλοις· καὶ ῥίζαν κοτυληδόνος τὴν ἰωμένην τὰ ἀπὸ κρυμοῦ γινόμενα τῶν ποδῶν ὑποκαύματα καὶ τῆς πυρίτιδος χλωρὰ φύλλα καὶ τοῦ σκολοπένδρου τὸν καυλὸν ἢ πανάκειον. σκορπίουρος δὲ βοτάνη καλεῖται, ἐπειδὴ ἡ ῥίζα αὐτῆς παρεμφερής ἐστι τῷ τοῦ ζῴου κέντρῳ ἀθερώδης οὖσα· ἔοικε δὲ τῇ τῆς κοτυληδόνος. οἱ δὲ κλάδοι αὐτῆς ἀειθαλεῖς λευκὰ φύλλα ἔχοντες, ὡς ἡ ἐλαία, εἰς ὕψος ἀνατείνοντα, ὅμοιοι ὄντες τοῖς ἀεὶ χλοάζουσι τῆς μολοθούρου. αὕτη φύεται ἐν ψαφαρᾷ γῇ ἢ ὀρεινῇ καὶ κρημνώδει. ἡλιοτρόπιος δὲ διὰ τὸ πρὸς ἥλιον ἀεὶ στρέφεσθαι, ὥσπερ καὶ ἡ ἀνεμώνη. ἰσχύουσα δέ, ὅτι τὸ ἐν Αἰγύπτῳ αὐτῆς φυτὸν ἀκανθῶδες τοιαύτην ἔχει δύναμιν. ὅταν γὰρ αὐτῆς ἅψηταί τις, μαραίνονται αὐτῆς τὰ φύλλα· ἐπειδὰν δὲ αὐτὴν ἐάσῃ, πάλιν ἀναθάλλουσιν.

678. *Ἠὲ καὶ ἠελίοιο τροπαῖς: τὸ ἡλιοτρόπιόν φησι τὸ πρὸς τὰς τροπὰς τοῦ ἡλίου τρεπόμενον. ἐν γὰρ τῷ ἡλιοτροπίῳ καὶ αὐτοῦ τὰ φύλλα τρέπεται.*

680. *Τεκμαίρει δὲ ἤγουν σημαίνει, φαίνει, δεικνύει· ἴσον πεταλοισι: καὶ αὐτὴ γὰρ ἡ ἐλαία τὰ γλαυκὰ τῶν φύλλων ἄνω ἔχει ἐν θέρους ὥρᾳ, τὰ δὲ μέλανα χειμῶνος.* 681. *ἡ δὲ κοτυληδὼν εἶδος φυτοῦ ὅμοιον κυμβάλῳ ἐν θριγκοῖς φυόμενον. ἐὰν δέ τις φάγῃ κοτυληδόνα ἔχων χίμετλα ἐν ποσίν, εὐθὺς παύονται. Ἄλλως. Κρατεύας ἐν τῷ Ῥιζοτομικῷ προστίθεται ὅτι πρόβατα ἄρνα εἰ μὴ στέργοι, ἐάν τις κοτυληδόνα τρίψας μεθ' ὕδατος δῷ, στέργοι. Διήφυσε δὲ ἀντὶ τοῦ ἰάσατο, ἐθεράπευσε.*

683. *βλωθροῖο: ἤτοι πύρεθρον οὕτω καλούμενον λέγεται.*

---

1 *συμμεμιγμένως* I. G. Schneiderus ex G *μεμιγμένως* PA *συμμερισμένως* K 2 *τοῦ μεμερισμένου φυτοῦ* K *τοῦ μελισσοφύλλου* A 7 *ὑπεκκαύματα* PA *ἀποκαύματα* I. G. Schneiderus ex G *σκολοπενδρείου* I. G. Schneiderus ex G 10 *ἀειθαλῆ* G 12 *τοῦ μολοθούρου* K 15 *ὅταν γὰρ αὐτῆς* A *ὅτε γὰρ αὐτοῦ* K 18 *τροπαῖς* P, om. K 19 *ἐν γὰρ τῷ ἡλιοτροπίῳ* A *ἐν γὰρ ἡλιοτρόπῳ* K: *ἐν γὰρ τῷ ἡλιοτρόπῳ καὶ αὐτὸ τρέπεται τὰ ἴδια φύλλα* P 26 *προστίθησιν ὅτι καὶ αἱ ὄεις τοὺς ἄρνας μὴ στέργουσαι, ἐάν τις τρίψας κοτυληδόνα δῷ μεθ' ὕδατος, στέργουσι* A 27 *διήφυσεν* A *διάφυσε* K 29 *τὴν δὲ πυρῖτιν, τὴν καὶ πύρεθρον καλουμένην, βλωθρὸν ὠνόμασεν. ἢ πυρῖτις καλεῖται διὰ τὸ δριμεῖα εἶναι. βλωθρὸς δὲ ἤγουν ἁπαλὴ χλωρά. ἢ μεγάλη μακρά. μολοθαίρη τις οὖσα. καὶ κατὰ συγκοπὴν καὶ τροπῇ τοῦ μ εἰς β βλωθρή. μνημονεύει δὲ αὐτῆς καὶ ἰόλαος λέγων αὐτὴν χρησιμεύειν. ἔστι δὲ καὶ ἑτέρα πυρῖτις βοτάνη, ἣν πρὸς παντός φησι θηρίου δῆξιν ἀγαθὴν εἶναι ὡς δὲ καὶ ἀριστεύας. καὶ ἡ σκολοπένδρειος δὲ* A. dedi scripturam codicis P, quantum quidem ex Bussemakeri adnotatione cognosci poterat. cum ea autem K, in quo 1 *μνημονεύει* — 5 *σκολοπένδρειος δὲ* extrita sunt, consentire videtur.

ἔστι δὲ δριμὺ κατὰ γεῦσιν· διὸ καὶ οὕτως ὠνόμασται. μνημονεύει δὲ τῆς βοτάνης ταύτης καὶ Ἰόλαος λέγων αὐτὴν χρησιμεύειν. ἔστι δὲ καὶ ἑτέρα πυρῖτις βοτάνη, ἣν πρὸς παντὸς φησι θηρίου δῆξιν ἀγαθὴν εἶναι, ὥς φησι καὶ Ἀριστεύας.

684. σκολοπενδρείοιο: σκολοπένδρειος δὲ βοτάνη ἐστίν, ὡς ἐν τῷ ἐπιγραφομένῳ Νάρθηκι ὁ Ἀνδρέας εἶπεν. ἔοικε δὲ τὸ πέταλον σκολοπένδρᾳ τῷ θηρίῳ. στυπτικὸν δέ ἐστι καὶ βοηθεῖ τοῖς θηριοδήκτοις.

685. πάνακες: καὶ γὰρ τὸ πάνακες Φλεγυήιον τὸ παιανικὸν εἶδος τοῦ φυτοῦ. Φλεγυαῖον δὲ τὸ ἐν Φλεγύαις, ἔθνει τῆς Φωκίδος, φυόμενον. Φλεγύαι γὰρ ἔθνος Φωκίδος παρὰ Δελφοῖς ᾤκησαν. ἢ ἐπεὶ οἱ Δελφοὶ Ἀπόλλωνος ἱερὸν Φλεγυήιον ἱδρύσαντο· ἢ ἐπεὶ ὁ Ἀσκληπιὸς ἰατρεῦσαι λέγεται ἐν Δελφοῖς. ὁ γὰρ Ἀσκληπιὸς Κορωνίδος ἦν υἱὸς τῆς Φλεγύου θυγατρός.

686. Μέλανος ποταμοῦ: καὶ γὰρ Μέλας ποταμὸς Βοιωτίας. 687. θέρων δὲ ἀντὶ τοῦ ἰώμενος τὸ τοῦ Ἰφικλέος ἕλκος, ὅπερ πέπονθε χρανθεὶς τῷ αἵματι τῆς ὕδρας, ὅτε αὐτὴν σὺν τῷ ἀδελφῷ Ἡρακλεῖ ἔκαιεν. Ἡρακλέους γὰρ τὴν ὕδραν ἀναιροῦντος ὁ ἀδελφὸς αὐτοῦ ὁ Ἰφικλῆς πληγεὶς ὑπ' αὐτῆς ἐθεραπεύθη ὑπ' Ἀσκληπιοῦ. Ἦ Ἰφικλέος ἔρνος, ἵν' ἢ λέγων τὸν Ἰόλαον πεπλῆχθαι ὑπ' αὐτῆς, ὅπερ ἄμεινον. Ἰδίως δὲ ταῦτα ἱστορεῖ Νίκανδρος. οὐ γὰρ Ἰφικλῆς ἀλλ' ὁ τούτου παῖς ὁ Ἰόλαος συνεστράτευσεν Ἡρακλεῖ ἐπὶ τὴν ὕδραν. 689. σκύλακας δὲ καταχρηστικῶς τὰ τέκνα τῆς γαλῆς. λαιδρὴν δὲ τὴν εὐκίνητον καὶ ἀναιδῆ καὶ θρασεῖαν καὶ ἁρπακτικήν. 690. πρόσπαιον δὲ πρόσφατον. ἀποσκύλαιο δέ, ἤγουν ἐκδείρειας. λάχνην δὲ τὸ δέρμα. 691. καρφαλέου τουτέστι ξηροῦ ἢ ξηροποιοῦ.

691. καθύπερθε: ἤτοι ὑπεράνω τῆς ἀυτμῆς τοῦ καταξήρου πυρὸς τοῦ σελάοντος, ἤγουν ἀναπτομένου. φύσει γὰρ τὸ πῦρ κατάξηρον καὶ θερμὸν κατὰ τὴν ἰδίαν φύσιν.

692. καὶ ἀφόρδια γαστρός: ἤτοι πάντα τὰ ἔντερα γαλῆς λαβὼν καὶ τὰ σκύβαλα ῥῖψον ἔξω, αὐτὴν δὲ τὴν γαλῆν φύρσον, τουτέστι ταρίχευσον, καὶ πάσον ἅλατι καὶ ἐν σκιαῖς ξήρανον. τοῦτο γὰρ δηλοῖ τὸ ἠελίοιο δίχα, ἵν' ᾖ σκιόψυκτον, ἵνα μὴ ἡ πιότης, ἤγουν τὸ ὑγρόν, ξηρανθῇ. 694. σκίναρ δὲ γέννημα παρὰ τὸ σκιρτᾶν, ἢ τὸ σῶμα καὶ σκήνωμα.

694. μήτι ἐνισκήλῃ νεαρόν: τουτέστι μὴ ξηράνῃ τὸ σῶμα τῆς γαλῆς ὁ ἥλιος προσελθὼν καὶ προσπεσὼν ὀξύς. δυσωδία γὰρ πε-

---

2 ἰόλαος P ἰόλας G 4 ὥς φησι καὶ ἀριστεύας PL ὥς φησιν ἀριστεύας G ὥς φησι Κρατεύας coniecit I. G. Schneiderus 7 θηριδήκτοις K 12 ἱερὸν Φλεγυήιον I. G. Schneiderus ex G ἱερὸν φλεγύεν| K ἱερὸν ὃ φλεγύαι A 14 τῆς θυγατρὸς τοῦ φλεγύου. παιήων δὲ ὁ ἀσκληπιός A 18 ἔκαιεν LG ἔκλαεν K 32 αὐτὴν δὲ τὴν γαλῆν GP' αὐτὸς καὶ τὴν γαλῆν K 34 ἡλίου δίχα A ἥλιοι δίχα G 35 σκίναρ A σκήναρ K ἢ τὸ σῶμα A ἤτοι σῶμα K 37 μή τοι ἐνισκήλῃ P μὴ δὴ ἐνισκήλῃ A

ριέσται, ἢ τὴν ἰκμάδα ἀπόλλυσι. ὁ νοῦς ἅπας οὕτως, γαλῆς τέκνα ἢ αὐτὴν τὴν μητέρα ἀγρεύσας κτεῖνον καὶ ἐν πυρὶ τὰς τρίχας αὐτῆς καῦσον ἐκβαλὼν πάντα τὰ ἔγκατα αὐτῆς καὶ ἁλίσας ξήρανον ἐν σκιᾷ καί, ὁπότε χρήζεις, λαβὼν μάχαιραν τὰ μὲν ὀστέα ἀφελὼν ῥῖψον, τὸ δὲ σῶμα τρίψας μετὰ οἴνου δὸς πιεῖν μετὰ σιλφίου ἢ ξηροῦ γάλακτος στροφάλιγγος, ὃ βέλτιον. Ἄλλως. λαβὼν τὴν γαλῆν ἔκδειρον αὐτὴν καὶ ξηράνας εἰς ὅλμον κόπτε συντόμως σὺν δυσὶ δραχμαῖς ἀριστολοχείας καὶ ἀπ' αὐτοῦ τεσσάρων δραχμῶν ὁλκὸν στήσας δὸς μετὰ οἴνου πιεῖν πλήσας ποτήριον. Ἄλλως. γράφεται μὴ σύγ' ἐνὶ σκύλῃ, ἤτοι μὴ σύγε, φησί, νεωστὶ τὸ σῶμα ξηράνας τῆς γαλῆς κατέργασο, ἀλλ' ὁπόταν δι' ἀνάγκην χρείαν αὐτῆς ἔχῃς. 695. τὸ δὲ ἀλλ' ὁπόταν χρειώ σε, ἀλλ' ὁπόταν ἡ χρεία σε καταλαμβάνῃ καὶ κατεπείγῃ κάμνοντα ὑπὸ τῆς ἀλγηδόνος, ἀνάσωχε τῇ κνήστιδι, τουτέστι διάκοπτε εἰς μικρὰ τῇ μαχαίρᾳ τὸ σκελέτευμα, ἤτοι τὸ ἐσκληκὸς τῆς γαλῆς, καθάπερ τὸ καλούμενον σίλφιον ἢ τύρου στροφάλιγγα. 696. ἀφαυρὸν δέ φησι τὸ σίλφιον, παρόσον χαῦνον καὶ οὐ στρυφνόν. 697. στροφάλιγγα δὲ ἣν ἡμεῖς τροφαλίδα λέγομεν, οἷον τυροῦ τροχόν. 698. ἐπικνήθων δὲ οἱονεὶ ἐπιτρίβων διάλυε ὡς σίλφιον ἢ τυρόν. προφερέστατον δέ, τῶν ἄλλων δηλονότι ὧν ἄνωθεν εἴρηκεν.

700. Εἰναλίου χέλυος: ἄλλη δύναμις. πυνθάνου δέ, φησί, καὶ ἄκουε τὴν ἐκ τῆς θαλασσίας χέλυος ἐπικρατοῦσαν βοήθειαν, ἥτις ἀλέξημα γίνεται τῷ τῶν ἑρπετῶν δήγματι. κρατέουσαν δὲ θεραπευτικήν.

701. ὅσα φῶτας: τοῦ δήγματος τῶν δολιχῶν, ὅσα τοὺς ἐπιπόνους καὶ ἀνιαροὺς ἀνθρώπους βλάπτουσιν.

703. ἤτοι ὅταν: ὁ νοῦς ἅπας οὕτως, ὅταν ἐπὶ τῆς χέρσου τις ἀπὸ τῆς θαλάσσης ἐκβάλῃ χέλυν, ἀνάστρεψον αὐτὴν ὑπτίαν καὶ μαχαίρᾳ κεντήσας δέξαι τὸ αἷμα αὐτῆς εἰς νέον καὶ ἄθικτον κέραμον καὶ τούτου τὸ ὑδατῶδες ἀνιμησάμενος ἔκχεε, τὸ δὲ καθαρὸν αἷμα ξήρανον καὶ ἀπ' αὐτοῦ ὡσεὶ τεσσάρων δραχμῶν τὸ βάρος ἔχον μίσγε μετὰ ἀγριοκυμίνου δύο δραχμῶν καὶ λαγωοῦ πυτίας δύο δραχμῶν καὶ τοῦτο λειάνας ψῦξον καὶ ἀπ' αὐτοῦ δραχμῆς τὸ βάρος κόψας δὸς πιεῖν μετὰ οἴνου.

---

5 γάλακτος — βέλτιον et 7 καὶ ξηράνας — ἀριστολοχείας, quae in K non satis adparuerunt, dedi ex. g 6 στροφάλιγγα g 11 τὸ δὲ ἀλλ' ὁπόταν χρειώ σε κατεπείγῃ K ἀλλ' ὁπόταν χρειώ σε ὁ νοῦς οὕτος ἀλλ' ὁπόταν ἡ χρεία σε καταλαμβάνῃ καὶ κατεπείγῃ P 13 τῇ κνήστιδι A τῇ κνίδῃ K 17 τροφαλίδα K στροφαλίδα P τρυφαλίδα L τρυφαλλίδα G 19 ὧν om. K: ἤγουν ὧν ἄνω εἶπε. γράφεται καὶ ἅλκαρ A 20 εἰναλίης P 22 κρατέουσαν δὲ θεραπευτικήν P, om. K 24 φῶτας P φῶτες K 25 ἀνθρώπους PA, om. K 26 ἤτοι ὅταν: καὶ γὰρ τὴν βροτόλοιγον χελώνην ἐπὶ τῆς χέρσου τις ἀπὸ τῆς θαλάσσης ἐκβαλὼν ἀνάστρεψον αὐτὴν ὑπτίαν καὶ μαχαίρᾳ κεντήσας δέξαι τὸ αἷμα αὐτῆς εἰς νέον καὶ ἄθικτον κέραμον καὶ τοῦτο τὸ ὑδατῶδες ἀνιμησάμενος ἔκχεε ἀργιοκυμίνου δύο δραχμὰς καὶ τοῦτο λειάνας ψύξον καὶ ἀπ' αὐτοῦ δραχμῆς τὸ βάρος κόψας δὸς πιεῖν μετὰ οἴνου: — οὐρὸν ἀπηθῆσαι (rell. om.) K. ὁ νοῦς — 33 οἴνου g, om. AP 28 δέξον g 30 ἔχων g 13 καὶ οὕτω λίην ψύξον g

Βροτόλοιγον: ὅταν τὴν βροτόλοιγον χελώνην ὑπὲρ τῶν αἰγιαλῶν τοῦ πόντου ἐξέλκωσιν οἱ ἀσπαλιεῖς, ἤγουν οἱ ἁλιεῖς, ταύτην ἀνακυπώσας, τουτέστιν ὑπτίαν ποιήσας καὶ ἀναστρέψας ἐπὶ νῶτον, τὴν κεφαλὴν αὐτῆς ἀπόκοψον χαλκῇ μαχαίρᾳ. 705. ἀπὸ θυμὸν οὖν ἀράξαι ἀντὶ τοῦ φόνευσον. 706. *μαύλιδι μαχαίρᾳ. βλοσυρόν, μέλαν, κακόν.* 707. *κεράμῳ δὲ πίθῳ. νεοκμήτι δὲ καινῷ ἐκ καμίνου. πελιδνὸν δ' ἤγουν μέλανα.*

708. *Οὐρὸν ἀπηθῆσαι*: καὶ γὰρ οὐρὸς λέγεται ἡ ὑποστάθμη, ἤγουν τὸ ὑδατῶδες τοῦ πεπηγότος γάλακτος· νῦν δὲ ἐπὶ τοῦ αἵματος, ἤγουν τὸ λεπτὸν καὶ ἄποιον. ἡ δὲ σύνταξις οὕτως, τὸν πελιδνὸν οὐρόν, ἤτοι τὸ πλαδάον, ἤγουν ὑγρόν, ἀπηθῆσαι, τουτέστι διυλίσαι ἐν λαεργέι μάκτρῃ, ὅ ἐστι λιθίνῃ θυίᾳ καὶ ἴγδῃ. *πελιδνὸν δὲ τὸν μέλανα καὶ σεσηπότα καὶ ἰχωρώδη.*

709. *ἧς ἐπὶ δὴ τέρσαιο*: ἤτοι ἐφ' ἧς δὴ μάκτρας καταξήρανον τὸ αἷμα ἐκχέας τὸν ὀρρὸν καὶ αὐτὸ τὸ διατριφθὲν καὶ διακλασθὲν διὰ τὸ θρομβῶδες αἷμα συντρίψας καὶ λειώσας τεσσάρων δραχμῶν βάρος. Ἄλλως. ἐπειδὰν τὸ αἷμα τῆς χελώνης ξηρὸν ᾖ, κλάσμα τι καὶ μέρος ἀφελὼν ὡς τετράδραχμον εἶναι μίγνυε μετὰ τῶν ἄλλων εἰδῶν καὶ τῷ βλαβέντι δίδου ἐν οἴνῳ πιεῖν δραχμήν. ἐν δὲ κυμίνου δοιάς, καὶ ἐκ ταμίσου λαγωοῦ τετάρτην μοῖραν. ἡ μὲν φράσις καὶ ὁ νοῦς τὴν διὰ τοῦ ἦτα γραφὴν ἀπαιτεῖ, τὸ δὲ μέτρον τὴν δια τοῦ ἰῶτα, ἵν' ἐπὶ τῆς ταμίσου εἴρηται οὕτως. ὁ δὲ νοῦς, μίγνυε καὶ ἀγριοκυμίνου δύο δραχμὰς καὶ ἐκ θαμίσου λαγωοῦ τετάρτην μοῖραν δραχμῆς. Ἄλλως. τετράμοιρόν φησι βρῖθος καταβάλλειν ταῖς δυσὶ δραχμαῖς τοῦ ἀγριοκυμίνου.

713. *Ἔνθεν ἀποτμήγων*: καὶ γὰρ ἐκ τῆς προειρημένης

---

1 βροτόλοιγον — 4 μαχαίρᾳ APG: ἤτοι ὅταν. ὅταν φησὶ τὴν χελώνην ὑπὲρ A 3 ἀνατρέψας I. G. Schneiderus 4 ἀπὸ θυμὸν – 7 ἤγουν μέλανα A 10 τὸν πελιδνὸν πλαδόοντα, ἤγουν ὑγρόν, ἀπηθῆσαι, τουτέστι διυλίσαι. εὐεργέι, ἤγουν καλῶς κατεσκευασμένῃ. μάκτρῃ, ἤγουν θυίᾳ, ἴγδῃ. πελιδνὸν δὲ καὶ τὸν μέλανα, ὡς ἔφην, καὶ τὸν σεσηπότα καὶ ἰχωρώδη καὶ ἄχρουν οὐρόν. τὸ δὲ εὐεργέι γράφεται καὶ ἐν λαεργέι, ἵν' ᾖ ἐκ λίθου κατεσκευασμένῃ, τουτέστι λιθίνῃ A 12 πελιδνὸν καὶ τὸν μέλανα ἢ καὶ τὸν μέλανα καὶ σεσηπότα K 14 ἧς ἔπι δή. γράφεται καὶ ἧς ἐπειδάν. καὶ εἰ μὲν τὸ πρῶτον, οὕτως. ἐφ' ἧς δὴ μάκτρης ξήρανον τὸ αἷμα ἐκχέας τὸν οὐρὸν καὶ αὐτὸ τὸ διατριβὲν καὶ διακλασθὲν διὰ τὸ θρομβῶσαι αἷμα συντρίψας καὶ λειώσας τεσσάρων δραχμῶν βάρος καὶ τὰ ἑξῆς δίδοθι πιεῖν. εἰ δὲ τὸ δεύτερον, οὕτως· ἐπειδὰν ἧς, ἤγουν τῆς χελώνης τὸ αἷμα ξηρὸν ᾖ, κλάσμα τι καὶ μέρος ἀφελών, ὥστε τετράδραχμον εἶναι μίγνυε μετὰ τῶν ἄλλων εἰδῶν καὶ τῷ βλαβέντι δίδου ἐν οἴνῳ πιεῖν. ἡ μὲν οὖν φράσις καὶ ὁ νοῦς μᾶλλον ἀπαιτεῖ τὸ δεύτερον, τὸ δὲ μέτρον τὸ πρῶτον A τέρσαιο P, om. K 15 αὐτὸ διατρυφθὲν K: διατριβὲν P διατρυχὲν G 18 ὡς τετράδραχμον — 22 δύο δραχμὰς καί, quae in K extrita sunt, dedi ex PG 20 τὴν διὰ τοῦοι γραφὴν ἀπαιτεῖ, τὸ δὲ μέτρον τὴν διὰ τοῦ o O. Schneiderus 24 βρῖθος P βάθος K 26 ἔν μὲν ἀποτμήγων καὶ γὰρ ἐκ τῆς προειρημένου K ἐνθ' ἀποτμήγων ἐκ τῆς προειρημένης P

συνθέτου κατασκευῆς δραχμὴν λαβὼν μετὰ οἴνου πιεῖν δίδου τῷ βλαβέντι.

714. *ἀλεξητήρια δήεις*: *καὶ γὰρ μέχρι τοῦ ὧδε περὶ ὄφεων, ἐντεῦθεν περὶ φαλαγγίων καὶ τῶν ὁμοίων διαλαμβάνει, καὶ πρῶτον περὶ μέλανος ἢ ῥωγός. δέκα δέ φασιν εἶναι γένη φαλαγγίων, εἰ καὶ Νίκανδρος μόνων τῶν ἑπτὰ μέμνηται.*

715. *ἔργα δέ τοι σίνταο*: *Ἰόβας ὁ βασιλεύς φησιν ἐν τῷ Θηριακῷ ι γένη εἶναι τῶν φαλαγγίων, Ἀπολλόδωρος δὲ ἐν τῷ περὶ θηρίων καὶ Ἀριστοτέλης φησὶν* (hist. anim. V 27) *ὅτι ἐν γυργάθοις γεννῶσι τὰ φαλάγγια, τίκτει δὲ ὑπὲρ τὰ τριάκοντα, γεννηθέντα δὲ τὰ φαλάγγια ἀναιρεῖ τὴν ἰδίαν μητέρα, ἐνίοτε δὲ καὶ τὸν ἄρρενα, ἤγουν τὸν αὐτῶν ἴδιον πατέρα. μέμνηται δὲ τοῦ πρώτου φαλαγγίου, ὃ καλεῖται ῥὼξ διὰ τὸ ῥωγὶ σταφυλῆς ἐοικέναι. ῥὼξ δέ ἐστι φαλαγγίου εἶδος, ὅπερ κατὰ μέσην τὴν γαστέρα ἔχει τὸ στόμα. καὶ μέλαν δὲ φαλάγγιον καλεῖται. ἔστι δὲ καὶ ἀστέριον καὶ κυάνεον καὶ ἕτερα πλείονα.*

717. *πισσῆεν*: *ὅτι πισσώδες ἐστὶ τῇ χροιᾷ ἢ τῇ πνοῇ. ἢ ῥὼξ καὶ πισσῆεν καλεῖται. τὸ οὖν περιφράζοιο ἀντὶ τοῦ περισκόπει. τὸ δὲ σήματά τ' ἐν βρυχμοῖσιν ἀντὶ τοῦ καὶ τὰ ἐν τοῖς δήγμασι γινόμενα σημεῖα.*

ἐπασσυτέροις ποσίν: *ἤτοι πολλοῖς ποσὶν καὶ πυκνοῖς ἕρπον ὡς ἀράχνης. τοῦτό, φησι, μέλαν ὂν ἔχει τοὺς πυκνοὺς πόδας πέριξ, τὴν δὲ κεφαλὴν κατὰ μέσην τὴν κοιλίαν δύο ὀδοῦσιν ὡπλισμένην. λέγεται δὲ ῥώξ, ἢ ὅτι βότρυος ἔοικε ῥωγὶ κατὰ σχῆμα, ἢ ὅτι ῥωγί τινι ἄνθρωπον ἀναιρεῖ τρώσας.*

915. ἦν δέ σ' ὁδοιπλανέοντα: ἐὰν δὲ συμβῇ σε ὁδοιποροῦντα πληγὴν ἀναδέξασθαι, τὸ τηνικαῦτα σὺ ὁ πληγεὶς λάβε τὰς παρατυγχανούσας ῥίζας ἢ ποίας δήποτε καὶ λαβὼν διαμασῶ, καὶ τον μὲν χυλὸν ἔκβαλε, τὰ δὲ μασηθέντα βοτάνια ἐπιτίθει, καὶ οὕτω θεραπευθήσῃ καὶ φεύξῃ τὴν ὀδύνην. 916. κατασπέρχῃ δὲ ἀντὶ τοῦ κατεπείγῃ τῇ ὀδύνῃ καὶ καταπονῇ. 918. μαστάζειν ἀντὶ τοῦ μάσταζε. ἔστι δὲ μασῶ ταῖς σιαγόσιν.

920. ὄφρα ὀδύνην καὶ κῆρα: ὅπως τὴν ὀδύνην καὶ τὴν βλάβην τὴν κατεπείγουσάν σε ἐκφύγῃς.

921. ναὶ μὴν σικύην: ἤτοι τὴν χαλκῆν ἢ σιδηρᾶν σικύαν λέγει, μεθ' ης σικυάζουσιν οἱ ἰατροὶ καὶ ἐκσύρουσι δι' αὐτῆς τὸ πληχθὲν αἷμα. καὶ ἐνταῦθα οὖν σικυάσαι κελεύει, ἵνα ἐκσύρῃς τὸν ἰόν. 923. ἢ τὸν τῆς συκῆς, φησι, γαλακτώδη ὀπὸν ἔμβαλε τῷ τύμματι. ἢ

---

6 κατὰ τῆς κεφαλῆς A 7 τὸν τριπόθητον om. G 11 ἐνέπεσε τῇ κόρσῃ A ἔπεσε κόρσῃ KP 15 τοῖς corr. man. rec. τρισσοῖς K, om. P 16 τῷ om. K 18 ἑκάλῃ P ἑκαλῃ K ἑκάβῃ ἢ ἑκάλῃ A 19 ἔρπυλος K 25 ἐὰν A εἰ K 27 ῥίζας ὁποίας KP: ῥίζας ἢ ποίας οἵας δήποτε λαβών G διαμασσῶ K 28 μασηθέντα K βοτάνια G βότανα KP 31 μασσῶ K 32 ὄφρα δύην ἀντὶ τοῦ ὅπως A 37 ἔκβαλε KP ἐπίβαλλε G

σίδηρον καυστειρὰν θαλφθεῖσαν ὑπὸ στέρνοις καμίνου, τοῖς στέρνοις πυρακτωθεῖσαν, ἔμβαλε τῇ τύψει. σημειωτέον δὲ ὅτι τὸν σίδηρον θηλυκῶς εἶπε. κελεύει δὲ χρήσασθαι κατὰ τόπον τῇ σιδήρου καύσει, ἵνα καύσῃ τὸν ἰὸν καὶ τὴν δηχθεῖσαν σάρκα.

925. αἰγὸς ἐνίπλειον δέρος: τὸν ἀσκὸν λέγει. κελεύει δὲ ἐν αἰγείῳ ἀσκῷ οἴνου ὄντι πεπληρωμένῳ ἀπυδῆσαι ἔσωθεν τὸ πληχθὲν μέρος.

928. ἀσκοδέταις: ἤτοι ἀσκὸν αἴγειον οἰνηρὸν πεπισσωμένον τῷ δηχθέντι μέρει τοῦ σώματος ἀνατεμὼν ἐπίβαλλε. τὸ δὲ ἐλίξεις γράφεται καὶ ἑλίσσεις ἀντὶ τοῦ ἕλισσε, δέσμει ἐπάνω. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν χειρῶν βουβῶνας εἶπε· λέγει δὲ τὰς μασχάλας. φησὶ δὲ ὅτι καὶ βδέλλας πρόσβαλλε τῷ τύμματι, ἵνα τὸ βλαβὲν μέρος αἷμα ἀφῇ.

932. μίγδην ἐν πυράθοισι: καὶ γὰρ πύραθοί εἰσι τῶν αἰγῶν τὰ ἀποπατήματα. ταῦτα οὖν εἰς τρύγα οἴνου ἢ ὄξους χέας καὶ μεμιγμένως ταράξας ἔτι νεαρᾶς οὔσης τῆς πάτου, τουτέστι τῆς πυράθου, πέριξ τοῦ δήγματος ἔλισσε, ὅ ἐστι χρῖε, ἕως ἐστὶ νεαρὸν τὸ ἀποπάτημα τῆς αἰγός. δεῖ γὰρ αὐτὸ νεαρὸν ἔτι ὑπάρχον ἐπᾶραι καὶ μῖξαι μετὰ τῆς τρυγὸς ἢ αὐτὸ τὸ μῖγμα νεαρὸν ὑπάρχον χρῖσαι. Ἄλλως. πυράθοισι: τοῖς ἀποπατήμασι τῶν αἰγῶν. Ἀλέξανδρος ἐν τῷ περὶ θηριακῶν κελεύει τὰ τῶν αἰγῶν ἀποπατήματα, ἄν τε ὑγρὰ ἢ ἄν τε ξηρά, μετὰ τρυγὸς ὄξους ἢ οἴνου αὐτὰ κατασκευάζειν· τὰ δὲ ἐπιφερόμενα πάντα βοήθειαν ἔχει.

933. Νεαλεῖ: νεαρᾷ δὲ ἀφοδεύσει, τουτέστι τῇ δὲ νεαρᾷ ἀποπατήσει, τῇ κόπρῳ τῆς αἰγὸς δηλονότι, τὴν τύψιν περιελίξεις, ἤγουν ἀποκλείσεις. ὁ σκοπὸς ἅπας, καὶ σικύᾳ τὸ αἷμα κένωσον ἢ τὸν τῆς συκέας τοῦ δένδρου γαλακτώδη ὀπὸν εἰς τὴν πληγὴν ἔμβαλε ἢ σιδήρῳ καῦσον ἢ ἐν ἀσκῷ οἶνον ἔχοντι τὸ πεπληγμένον ἔμβαλε μέρος ἢ βδέλλας ἐπίθες ἢ κρομύου ὀπὸν ἔμβαλε ἢ οἶνον ζεούσῃ σποδιᾷ συγχύσας τάραξον καὶ ἐπίθες ἢ ὄξος ἢ νεαρὰν κοπρίαν ἐπίδησον.

934. ὄφρα δὲ καὶ πάσῃσι: νῦν καθολικῶς πάσης νόσου, ἤτοι παντὸς δήγματος, λέγει τὰ ἀλεξητήρια· ἵνα δὲ καὶ πάσαις ταῖς βλάβαις ἀλεξητήρια κατασκευάσας θαρρῇς, λείπει δὲ τὸ λέγω σοι, ὅπερ ἡδὺ πάνυ ἔσται.

936. ἦμος ὅτε θρόνα: ἡνίκα τὰ πολλὰ θρόνα, τουτέστι φάρμακα, ἤγουν τὰς βοτάνας, ὑπὸ τῇ ἰδίᾳ χειρὶ ταράξεις. 937. ἐν μὲν

---

1 καυστειρὸν P 7 μέρος. φορβὰς δὲ λέγεται μὲν καὶ τὸ φοράδιον, λέγεται δὲ καὶ πάντα τὰ βοσκόμενα, ἀπὸ τοῦ βορὰ ἡ τροφὴ βορβάς, καὶ τροπῇ τοῦ β εἰς φ φορβάς A 9 ἐπίβαλλε ἑλίττων καὶ δεσμεύων ἰσχυρῶς. γράφεται δὲ τὸ ἑλίξεις A 10 δέσμευε ἄνω G δέσμει ἐπίθες P 12 πρόσβαλλε P πρόβαλλε K ἐπίβαλλε A μέρος ἢ τὸ τύμμα ἀφῇ G 17 αὐτὸ νεαρὸν ὑπάρχον A αὐτὸν νεαρὸν ἔτι ὑπάρχειν K μετὰ τῆς τρυγὸς PA, om. K 18 πυράθοισι P, om. K 23 νεαρῷ KP 24 τῇ κόπρῳ P τῆς κόπρου K 25 σικύᾳ αἷμα A σικύανθον αἷμα K σικύωσον αἷμα P

καὶ ἀριστολόχεια καὶ ἃς ἑξῆς ἐπιφέρει. αὕτη δὲ ἡ βοτάνη ἀριστολόχεια ἐκλήθη διὰ τοῦτον τὸν τρόπον. τοῦ νεὼ τοῦ ἐν Ἐφέσῳ κατασκευαζομένου πολλοὺς ὑπὸ ἔχεων συνέβη πληγῆναι· ἡ δὲ θεὸς ἐμήνυσεν Ἀριστολόχῳ τῷ Ἐφεσίῳ τὴν πόαν ταύτην, ᾗ ἐθεραπεύοντο οἱ πληττόμενοι. καὶ ἐκ τούτου ἀριστολόχεια ἐκλήθη, ἀπὸ Ἀριστολόχου τοῦ Ἐφεσίου ἐκείνου, ὃς πρῶτος ταύτην εὗρεν.

938. ῥίζαι: τουτέστι τῆς χαλβάνης ἡ ῥίζα. κατὰ κοινοῦ δὲ τὸ εἶεν. ἔστω δὲ καὶ ἀριστολόχεια καὶ ἴριδος ῥίζα, ἥτις ἐστὶ φυτόν, καὶ νάρδου ῥίζα σὺν τοῖς φύλλοις τοῦ πυρέθρου καὶ δαύκης καὶ τῶν λοιπῶν. καὶ ἡ πύρεθρος δὲ βοτάνη ἐστίν, ἣν πυρῖτιν ἀλλαχοῦ λέγουσιν. τὴν δὲ γλυκυσίδην ὁ Θεόφραστος (hist. plant. VIIII 8, 6) καὶ παιωνίαν λέγει· φυτὸν δὲ ἐστιν.

941. κάρφεά τ' ἐλλεβόρου: ἀντὶ τοῦ τοὺς κλάδους καὶ τὰ σπέρματα. μελανόχροος δὲ εἶπεν, ἐπειδὴ καὶ λευκός ἐστιν ἑλλέβορος.

945. ἵππειον λειχῆνα: ἰστέον ὅτι γίνονται ἐπὶ τῶν γονάτων τῶν ἵππων λειχῆνες, ἃς ἀποξύειν κελεύει καὶ τρίβοντας διδόναι πιεῖν τοῖς ὀφιοδήκτοις ἀλεξητήριον. καλεῖσθαι δὲ αὐτὰς λέγουσί τινες χελιδόνας. χαμαλὴν δὲ λειχῆνα εἶπε, διότι ἐν τοῖς κάτω τῶν ἵππων μέλεσι γίνεται καὶ οὐκ ἄνω φύεται· ἐν γὰρ τοῖς γόνασιν, ὡς εἴρηται, φύεται. Ἄλλως. βοτάνη ἱππολειχὴν θεραπευτικὴ θεραπεύουσα τῶν ἵππων τὰς λειχῆνας, ἣν λέγουσιν ἱπποσέλινον.

947. Κινάμοιο: ἐν τῷ γ (c. 111) φησὶν Ἡρόδοτος ἐν Ἰνδικῇ ζῷον εἶναι, ὃ καλεῖται κινάμωμον, ὅτι καλιὰν ποιεῖται ἐκ τῶν καρφῶν διὰ τὴν ὀδμήν· ὅθεν καὶ κινάμωμον καλεῖται. οἱ δὲ τὸ ξύλον τὸ κινάμωμον αὐτό φασιν εἰρηκέναι.

950. πολυστείοισι νομάζων: ἤτοι πολυψήφοις. εἰ δὲ πολυμνίοισιν, ἀντὶ τοῦ πολλὰ μνία ἔχουσι· μνία γὰρ τὰ βρύα· διὸ καὶ διὰ τοῦ ἰῶτα γράφεται. νομάζων δὲ ἀντὶ τοῦ νεμόμενος. 951. ἐν στύπεϊ: τῷ κύτει καὶ τῇ γαστρὶ τοῦ ὅλμου· περιφραστικῶς ἀντὶ τοῦ ἐν ὅλμῳ, τουτέστι τῇ θυείᾳ. 953. ἀπαρινέα δὲ ἀντὶ τοῦ ἀπαρίνης ξυλόν. ἀπαρίνη δέ ἐστιν εἶδος φυτοῦ. 955. τὸ δὲ διακριδόν γράφεται καὶ διασταδόν. τροχίσκους δὲ δραχμαίους ποίει. χωρείτω δέ, φησιν, ὁ δραχμαῖος τροχίσκος δύο κοτύλους καὶ πινέσθω.

957. καί κεν Ὁμηρείοιο: ἢ διὰ τὸν ζῆλον ἢ διὰ τὴν πατρίδα. Κολοφώνιον γὰρ ἔνιοι τὸν Ὅμηρον ἐγενεαλόγησαν. ἢ ἴσως Ὁμηρικόν, ὥσπερ Κρατίνειον καὶ Ἀριστάρχειον.

958. μνῆστιν ἔχοις: ἤτοι μνησθείης ἄν μου, ὦ Ἑρμησιάναξ, τοιαύτας εὑρόντος θεραπείας. νιφόεσσα δὲ περιφραστικῶς ἡ Κλά-

---

3 ὠνόμασεν corr. ἐμήνυσεν K 11 παιωνίαν Theophrastus l. c. περίνιαν K 14 ὁ ἑλλέβορος K 23 καρφῶν I. G. Schneiderus ex Herodoto l. c. καρπῶν K 28 ἐν στύπτει τῷ κήτει K, correxit I. G. Schneiderus 33 κοτύλους οἶνον I. G. Schneiderus 36 Κρατήτειον Wegenerus de aul. Attal. p. 173 Κράτητα coniecit O. Schneiderus.

ρος, ἥτις οὕτως ὠνόμασται παρὰ τὸ ἐκεῖ γενομένην τὴν Μαντὼ τὴν Τειρεσίου μετὰ Ζωγραίου κλαῦσαι, ἢ διὰ τὸ λαχεῖν αὐτὴν τὸν Κλάριον Ἀπόλλωνα. γράφεται καὶ Κλάρου πολίχνη, τουτέστιν ἡ Κλάρος αὐτή. ἔστι δὲ πόλις Κολοφῶνος.

---

1 τὴν Μαντὼ τὴν I. G. Schneiderus τὴν μαντ΄αν K 2 αὐτὸν K

SCHOLIA

IN

NICANDRI ALEXIPHARMACA.

Τὸ ποίημα οἱ μὲν ἐπιγράφουσι περὶ θανασίμων φαρμάκων, οἱ δ' ἀντιφάρμακα, ἄλλοι δ' ἀλεξιφάρμακα· καὶ γὰρ αὐτός φησιν ὁ Νίκανδρος (4)·

ῥεῖά κέ τοι ποσίεσσιν ἀλέξια φαρμακοέσσαις.

1. Εἰ καὶ μὴ σύγκληρα. Νίκανδρός ἐστιν ὁ λέγων Κολοφώνιος Πρωταγόρᾳ Κυζικηνῷ, ὁ δὲ νοῦς· εἰ καὶ μὴ σύνεγγυς ἔχομεν τοὺς κλήρους τῶν πόλεων ἐπὶ τῆς Ἀσίας, ἀλλὰ τό σοι προσφωνεῖν οὐκ ἀνοίκειον ἡγοῦμαι. Δήμους δὲ λέγει τὰ ἀθροίσματα τῶν τε προγόνων καὶ τῶν κτιστῶν.

2. Τύρσεις δεῖ ἀκούειν τὰς πόλεις, ἀλλ' οὐ τὰς ἐπάλξεις, ὅπερ κυρίως σημαίνουσιν· ἀπεμφαίνων, γὰρ ὁ λόγος ἐστὶν, εἰ χάριν τῶν ἐπάλξεων οἱ δῆμοι τὰ τείχη ἔκτισαν, αλλὰ μὴ χάριν τῶν πόλεων. Σύγκληρα δὲ σύνοικα τῶν αὐτοκλήρων. Τὸ δὲ τέων οὐκ ὀρθῶς κεῖται· σημαίνει γὰρ τὸ τίνων· Ὅμηρος (Π. ω 387)·

τέων δ' ἔξ ἐσσι τοκήων;

βούλεται δὲ λέγειν ὧν. Τζέτζης· τέων, τῶν, ὧν δωρικῶς· καλῶς ἔχει. Βλάστας δὲ τὰ βλαστήματα, τὰ γένη· ὁ γὰρ ἄνθρωπος δίκην φυτοῦ αὔξει. Τύρσεσι δὲ ταῖς πόλεσιν ἀπὸ μέρους τῶν τειχῶν.

3. Δολιχός· μακρὸς, πολύς· ἀπέχουσι γὰρ ἀλλήλων ἡ Κύζικος καὶ ἡ Κολοφών.

4. Ἀλέξια φαρμακοέσσαις· τὰ ἀλεξιτήρια τῶν φαρμάκων εἴποιμι ἀντὶ τοῦ καὶ βλαπτούσας καὶ ὠφελούσας βοτάνας εἴποιμι.

5. Ἅ τε φῶτας· ἔδει εἰπεῖν αἵτινες, αἱ πόσιες, ὁ δ' ἐπὶ τὸ ὁμώνυμον οὐδετέρως μετῆλθεν Ὁμηρικῶς· πρὸς τὰ φάρμακα γὰρ τὰ φθοροποιὰ ἔφη τὰ ἀλεξιτήρια τῶν φαρμάκων εἴποιμι.

6. Πολυστροίβοιο δὲ τῆς πολυταράχου παρὰ τὸ στροβεῖν τὰς ναῦς, ὅ ἐστι ταράσσειν, κατὰ παρένθεσιν τοῦ ι πολυστρόφου, τῆς πολλὰς στροφὰς ἐχούσης.

7. Ἄρκτον ὑπ' ὀμφαλόεσσαν· ἀρκτικωτέρα γὰρ ἡ Κύζικος τῆς Κολοφῶνος, ὀμφαλὸν δὲ καλεῖ τὸν βόρειον πόλον, ὡς μεσαίτατον, ἢ αὐτὴν τὴν ἄρκτον διὰ τὸν παρακείμενον αὐτῇ τῶν ἄστρων χορόν· ὀμφαλόεσσα εἴρηκε διὰ τὸ μέσον τοῦ βορείου κεῖσθαι. Τινὲς δ' ἐπειδὴ δοκεῖ ὁ κατὰ τὰς ἄρκτους τόπος εὐβοτώτατος, ὀμφαλόεσσαν εἰρῆσθαί φασι τὴν τροφώδη· ὀμφαλὸς γὰρ ἀπὸ τῆς ὄμπνης εἴρηται, ὅ ἐστι τροφὴ, ἀφ' οὗ καὶ ἡ Δημήτηρ ὀμπνία, ἄλλοι δὲ τὴν Κρητικήν· Ὀμφαλὸς γὰρ τόπος ἐν Κρήτῃ, ὡς καὶ Καλλίμαχος (Hymn. in Jovem 44)·

πέσε, δαῖμον, ἄπ' ὀμφαλὸς, ἔνθεν ἐκεῖνο
Ὀμφάλιον μετέπειτα πέδον καλέουσι Κύδωνες.

27 τοῦ ι, ἢ π.?

8. *Λοβρίνης θαλάμαι· τόποι ἱεροὶ ὑπόγειοι, ἀνακείμενοι τῇ Ῥέᾳ, ὅπου ἐκτεμνόμενοι τὰ μήδεα κατετίθεντο οἱ τῷ Ἄττει καὶ τῇ Ῥέᾳ λατρεύοντες, εἰσὶ δὲ τὰ Λόβρινα ὄρη Φρυγίας ἢ τόπος Κυζίκου· δύο γὰρ ὄρη εἰσὶν ἐν Κυζίκῳ, Δίνδυμον καὶ Λόβρινον. Λοβρίνης· οὕτω καλεῖται ἡ Ῥέα ἀπὸ τοῦ ὄρους τῆς Κυζίκου, ὃ καλεῖται Λόβρινον, ὅπου ἱερόν ἐστι τῆς Ῥέας. Ἄττεω· ἱστορεῖται, ὅτι ποιμὴν ἦν Φρὺξ ὁ Ἄττης, ποιμαίνων δὲ καὶ ὑμνῶν τὴν μητέρα τῶν θεῶν ἐφιλήθη ὑπ' αὐτῆς, καὶ δὴ φαινομένη πολλάκις τιμῆς αὐτὸν ἠξίωσεν, ὁ Ζεὺς δ' ἐπὶ τούτῳ δυσανασχετῶν ἀνεῖλεν αὐτὸν οὐ φανερῶς δι' αἰδῶ τῆς μητρὸς, ἀλλὰ σὺν ἄγριον πέμψας, ἡ δὲ κατολοφυρομένη αὐτὸν ἔθαψεν, οἱ δὲ Φρύγες κατὰ τὸ ἔαρ θρηνοῦσιν αὐτόν. Ὥσπερ δ' ἀπὸ τοῦ Ἄλτης Ἄλτεω, οὕτω καὶ ἀπὸ τοῦ Ἄττης Ἄττεω, ἢ ὡς ἀπὸ περισπωμένου, ὥσπερ Ἑρμῆς Ἑρμέω.*

9. *Κρεούσης τῆς Ἐρεχθέως καὶ Ἀπόλλωνος Ἴων, ἀφ' οὗ Ἴωνες οἱ Ἀθηναῖοι καὶ Ἰάδες πολλαὶ πόλεις, ἡ δὲ Κολοφὼν τῆς Ἰωνίας.*

11. *Ἑξόμενος· γράφεται καὶ ἑξομένη Κλαρίοιο θεοῦ παρὰ πίονι νηῷ· Κλάρος γὰρ εἴρηται παρὰ τὸ κεκληρῶσθαι τὸν τόπον Ἀπόλλωνι, ἢ ὅτι ἐκεῖ ἐκληρώσαντο Ζεὺς, Ποσειδῶν καὶ Πλούτων, ἢ ὅτι ἐκεῖ ἔκλαυσεν ἡ Μαντὼ σὺν τῷ ἀνδρὶ Βακχιάδῃ διὰ τὴν τοῦ τόπου ἐρημίαν.*

13. *Πνυθείης ἀντὶ τοῦ πνῦθι, ἤγουν σύνες, γνῶθι, εὐκτικὸν ἀντὶ προστακτικοῦ, ακουε, μάθε· τὸ δ' ἀκόνιτον ῥιζίον τί ἐστι βοτάνης ὅμοιον ἀγρώστιδι, οὗ ἡ πόσις πικρὰ οὖσα τὸ μὲν στόμα ἅπαν στύφει, τὴν δὲ καρδίαν δάκνει, τὸ δὲ πνεῦμα ὑπὸ καταψύξεως τοῦ πνεύμονος ἐπικόπτει, λυγμοὺς συνεχεῖς ἀποτελοῦσα· διὸ καὶ τὸν στόμαχον ἀεικίνητον ὄντα ἐμποδίζουσα κλείει, τὴν δὲ κοιλίαν πνευμάτων ἐμπίπλησι καὶ τὸν κῶλον, τοῖς δὲ κροτάφοις παλμὸν παρέχουσα καὶ τῇ κεφαλῇ βάρος καὶ τοῖς μέλεσιν ἴδρωτας, ἔκφρονας ποιεῖ καὶ ἀσθενεῖς. Τὸ ἀκόνιτον εἶδος βοτάνης ἐστὶν, ὅπερ καλοῦσιν ἀπὸ τοῦ συμβεβηκότος πορδαλιαγχὲς διὰ τὸ ἀπόλλυσθαι ὑπ' αὐτοῦ τὴν πόρδαλιν, ἐπειδὴ ἀντιφάρμακον ἔχει τὴν ἀνθρωπείαν κόπρον, καὶ οὐ πρότερον ἐσθίουσιν αἱ πορδάλεις, εἰ μὴ ἔχοιεν τὴν κόπρον πλησίον, ἵν' εὐθέως προσενέγκοιντο τὴν βοήθειαν· οἱ οὖν νομεῖς τὸν ἀπόπατον ἐξάπτουσιν ἐκ δένδρων, εἶτα, ἐπειδὰν φάγωσιν αἱ πορδάλεις τὸ ἀκόνιτον καὶ ὁρμήσωσιν ἐπὶ τὴν κόπρον, ἀνασπῶσιν οἱ ποιμένες, καὶ περιαλλόμεναι τουτέστιν ἐπιπηδῶσαι ἀποθνήσκουσιν· ἱστορεῖ Ἀριστοτέλης ἐν τῷ ἐννεακαιδεκάτῳ περὶ ζώων (H. A. IX 6, T. I, p. 612). Πνυθείης· τὸ ἀκόνιτόν φασιν ἐκ τοῦ ἐμέτου τοῦ Κερβέρου φυῆναι· ἱστορεῖται γὰρ τὸν Κέρβερον ἐξ ᾅδου ἀνενεχθέντα μὴ δύνασθαι ὑπομεῖναι τὰς αὐγὰς τοῦ ἡλίου καὶ ἐμέσαι, καὶ ἐκ τοῦ ἐμέτου ταύτην γενέσθαι τὴν βοτάνην. Ἀχέρων δὲ ποταμὸς ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ, ἔνθα τὸν τοῦ Ἅιδου κύνα ὁ Ἡρακλῆς ἐξήγαγε, καὶ ὁ λόφος Ἀκόνιτος λέγεται.*

14. *Εὐβουλῆος δὲ τοῦ Ἅιδου κατ' εὐφημισμόν.*

15. *Ἄστυρά τε· τὰ ἄστυρα πολίσματά εἰσι, καὶ χωρίον οὕτω λε-*

---

16 καὶ ἑξομένην?

γόμενον, ὁ δὲ Πριόλαος υἱὸς Λύκου βασιλέως Μαρυανδηνῶν, ὃς ἀπέθανεν ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ, Ἡρακλέους πολεμοῦντος τοῖς πλησίον, οὗ εἰς ὄνομα ὁ πατὴρ τὴν πόλιν ἐκάλεσεν ἐγγὺς οὖσαν Ἡρακλείας.

16. Οὐρανόεσσαν δ' ὑπήνην ἢ τὸ ἐπάνω τοῦ χείλους τρίχωμα, ἢ τὴν ὑπερῴαν, ἤτοι τὸν οὐρανίσκον καταχρηστικῶς.

19. Λύῃ· τῇ ταλαιπωρίᾳ δὲ τοῦ πάθους τὸ τῆς καρδίας ἄκρον ὑποδάκνεται. Ἄκρον νειαίρης· τῆς κοιλίης τῆς κατωτάτω, κατὰ τὸ ἄκρον καὶ ἄκλειστον στόμα τῆς νειαίρης γαστρὸς ἀειρόμενον τὸ φάρμακον, στόμα δὲ γαστρὸς ὁ στόμαχος, ποιητικῶς δ' ἐξέφρασεν· ἡ δὲ κάκωσίς φησιν ἐπιτίθεται τῷ στόματι τῆς κοιλίας, ὃ δὴ διὰ παντὸς ἀνεφγός ἐστιν.

21. Τεύχεος· τοῦ στόματος τῆς κοιλίας, ἣν οἱ μὲν καρδίαν καλοῦσιν, οἱ δὲ δοχεῖον τῶν ἐντέρων τῆς βρώσεως, λέγει δὲ τὸ κῶλον.

22. Πύλη δ' ἐπικέκλιται· ἐμπέφρακται τῶν παχέων ἐντέρων ἡ εἴσοδος· τοῦτο γάρ φησιν, ὅτι φράττεται τὰ δοχεῖα μέρη τῶν σιτίων διὰ τὴν ἀλγηδόνα.

24. Νοτέων ὑπολείβεται ἱδρώς· παρακαλουθεῖ δ' ἀεὶ τοῖς τὸ ἀκόνιτον πεπωκόσιν ἐκ τῶν βλεφάρων καὶ τῶν μελῶν ὑγρὰ ὑπόσταξις, ἡ δὲ γαστὴρ πνευματουμένη καὶ ταρασσομένη τὰ μὲν πολλὰ τῶν πνευμάτων ἄνωθεν ἐκβάλλει, τὰ δὲ λοιπὰ κάτω πέμπει, ἅτινα κατὰ τὸν ὀμφαλὸν ἱδρυνθέντα ἐμφράσσει τὴν κοιλίαν.

27. Κράατι δ' ἐν βάρος· πνευμάτωσις δὲ πολλὴ καὶ βάρος κεφαλῆς καὶ κροτάφων παλμός. Διπλόα δ' ἀντὶ τοῦ διπλᾶ ὁρᾷ, οἷα συμβαίνει τοῖς ἐσκοτωμένοις τῇ μέθῃ· οὕτω φησὶ βαρεῖται ὑπὸ τοῦ φαρμάκου ὁ πιὼν αὐτὸ, ὡς ἀνὴρ κραιπαλῶν.

30. Ἀγριόεσσαν ὀπώρην νῦν τὴν σταφυλὴν λέγει ἀντὶ τοῦ ἀγριοποιόν, ἐπειδὴ ὁ οἶνος ἀγριοποιός ἐστι, καθάπερ λέγεται ἡ ἀγρία καὶ ὀρεινή. Ὑποθλίψαντες δ' ἤγουν ἐκπιέσαντες τὴν σταφυλὴν οἱ Σιληνοί, οὗτοι δ' οὓς ἡμεῖς Σατύρους λέγομεν οἱ ἀρχαῖοι Σιληνοὺς ἐκάλουν ἀπὸ τοῦ σιλλαίνειν, ὅ ἐστι λοιδορεῖν, γράφεται δὲ διὰ τοῦ ι.

31. Κεραοῖο, ὅτι οἱ ἀρχαῖοι κέρασιν ἐχρῶντο ἐν τῇ πόσει ἀντὶ ποτηρίων, ὅθεν καὶ τὸ κεράσαι εἴρηται· ἢ διὰ τὸ ταυρωτικὸν τῶν πινόντων, τουτέστι τὴν ἀπὸ τοῦ οἴνου ἰσχύν, ὡς κέρατα ἐχόντων, ὁ δὲ Διόνυσος καὶ ταυρόκερως λέγεται.

32. Θωρηχθέντες ἀντὶ τοῦ μεθυσθέντες· καὶ Ἱπποκράτης τὴν οἰνοποσίαν θώρηξιν εἴρηκεν (Aphor. II 21 et saepius alibi).

34. Νυσαίην ἀνὰ κλιτύν· ἤγουν ἀνὰ κλιτὺν τοῦ Νυσαίου ὄρους.

35. Ὥς οἵγε σκοτόωσιν· οὕτω φησὶ καὶ οἱ βεβρωκότες τὸ ἀκόνιτον διατίθενται ἔκφρονες.

36. Τὴν μέν τε· ταύτην μέντοι τὴν βοτάνην τὸ ἀκόνιτον καὶ μυοκτόνον καλοῦσι διὰ τὸ τοὺς περιλείχοντας αὐτὴν μύας φονεύειν.

37. Ὕρακας τοὺς μύας κατ' Αἰτωλούς· λέγεται γὰρ ὗς ὁ χοῖρος καὶ ὗραξ, ὕρακας δὲ νῦν τοὺς μύας ἐκάλεσε, διότι παρεοίκασι χοίροις τὰ ῥάμφη. Λιχμήρεας δὲ τοὺς περιλείχοντας, καὶ ἀνιγροὺς τοὺς ἀνιαροὺς.

38. Πορδαλιαγχὲς λέγεται τὸ ἀκόνιτον, ἐπειδὴ τούτου αἱ πορδά-

λεις γευσάμεναι ἀποπνίγονται, ὥσπερ οἱ ἀγχόμενοι, ἃς ἡ τοῦ ἀνθρώπου κόπρος θεραπεύει, οἱ δὲ νομεῖς καὶ οἱ βουπελάται πορδαλιαγχὲς αὐτὸ ἔθηκαν, ἐπεὶ τοῖς θηρίοις τοῖς πελώροις, τουτέστι ταῖς πορδάλεσι ταῖς μεγάλαις, πορδαλιαγχὲς πότμον αὐτὸ ἔθηκαν, βουπελάται δ' οἱ βουκόλοι παρὰ τὸ πλησιάζειν ταῖς βουσὶ καὶ κολλᾶσθαι αὐτοῖς. Ἰστέον, ὅτι ἡ πόρδαλις, ἐὰν φάγῃ τὸ ἀκόνιτον, ἀναιρεῖται· οὐ πρότερον οὖν ἐσθίει ἐξ αὐτοῦ, εἰ μὴ ἔχει πλησίον κόπρον ἀνθρωπείαν· ταύτῃ γὰρ κέχρηται ἀντιφαρμάκῳ· οἱ οὖν νομεῖς ἐξάπτουσι τὴν κόπρον εἰς δένδρον τοσοῦτον ὕψος, ὅσον οὐ δύναται ἡ πόρδαλις πηδῶσα φθάσαι· ὁρῶσα οὖν ἡ πόρδαλις τὴν κόπρον, ἅτε δὴ θαρροῦσα ἔχειν τὸ ἀντιφάρμακον, τρώγει τὸ ἀκόνιτον, εἶτα ὁρμᾷ ἐπὶ τὸ χρήσασθαι τῷ ἀντιφαρμάκῳ, καὶ οὐκ ἐφίκεται αὐτοῦ διὰ τὸ ὕψος· οὕτως οὖν ἐφαλλομένη καὶ πηδῶσα λαβεῖν τὸ φάρμακον μὴ δυναμένη διὰ τὸ ὕψος ἀποθνήσκει ἢ ἀτονεῖ· ἄτονον γὰρ τὸ ζῶον φύσει· καὶ οὕτως αὐτὴν σφάττουσιν οἱ νομεῖς.

40. Ἴδης ἐν κνημοῖσιν· ἐν τοῖς τόποις τῆς Ἴδης· κορυφαὶ δ' ἦγουν ἐξοχαὶ τῆς Ἴδης τέσσαρες, Φαλάκρα, Λεκτὸν, Σίγειον, Γάργαρον· Φαλάκρα δ' ἀκρωτήριον Ἴδης· διὸ καὶ Λυκόφρων φησίν (vs. 24).

αἱ Φαλακραῖαι κόραι.

41. Θηλυφόνον, ὅτι, ἐὰν ἅψηται μορίου θήλεος, διαφθείρει τὸ ζῶον· παντὸς φησι ζώου θήλεος εἰς τὴν φύσιν ἐντιθέμενον τὸ ἀκόνιτον φθορᾶς αἴτιον γίνεται. Κάμμορον· κακῷ μόρῳ ἀναιροῦν. Ἐν δ' ἀκοναίοις· ἐν τοῖς τόποις, οἷς γίνονται αἱ ἀκόναι· ταύτας δὲ τὰς ἀκόνας οἱ μὲν ἐν Ἡρακλείᾳ φασὶ γίνεσθαι, οἱ δ' ἐν Ἑρμιόνῃ, οἱ δ' ἐν Ταινάρῳ.

42. Ὀρόγκοις δὲ τοῖς μετεώροις τόποις ἀπὸ τοῦ τοὺς ὀρεινοὺς τόπους ὄγκους ἔχειν, ἢ τοῖς τόποις τοῖς ἐξοχὰς ἔχουσιν. Ἐντεῦθεν δὲ λέγονται τὰ βοηθήματα καὶ ἀντίδοτα τοῦ ακονίτου.

43. Τῷ καί που τιτάνοιο· πάρεστιν ἐπὶ τὰ βοηθήματα τοῦ ποτίσματος τοῦ ἀκονίτου, καί φησι δράκα κονίας ασβέστου μιγνυμένην οἴνῳ βοηθήσειν τῷ πεπωκότι· τίτανος γὰρ ἡ ἄσβεστος.

44. Ὅτε νέκταρ κιρρόν· ὅτ' οἶνον πυρρὸν ἐν τρυβλίῳ μετρηδὸν ἀντὶ τοῦ μετρήσας ἀφύσσῃς.

46. Θάμνου δ' ἤτοι τοῦ θαμνώδους ἢ τοῦ θαμνώδη φύλλα ἔχοντος· καυλέα δὲ κλῶνας.

47. Χλοεροῦ πρασίοιο· τρία γένη εἰσὶ τοῦ πρασίου, δηλοῖ δὲ, τὸ ποῖον βούλεται λέγειν· φησὶν οὖν τὸ μελίφυλλον, ἐστὶ δὲ τοῦτο πικρὸν, οὗ τὰ φύλλα σὺν οἴνῳ ἕψησον, πληρώσας τὴν χεῖρα· ἢ ἀβροτόνου, καὶ ποτήριον πληρώσας δὸς πιεῖν.

48. Ἀειθαλέος δ' ὅτι ἀεὶ χλωρά ἐστιν ἡ χαμελαία καλουμένη βοτάνη· τοῦ δὲ πηγανίου εἴδη εἰσὶ δύο, ἄδηλον δὲ, ποῖον λέγει· ὅμως δὲ καὶ αὐτὸ ληφθὲν εἰς ἥμισυ βάθος χειρὸς πλήρωμα καὶ μετ' οἴνου ἑψηθὲν ἢ μέλιτος καὶ τεσσάρων ποτηρίων ἤτοι κοτυλῶν ποθὲν ὠφελεῖ.

50. Αἰθαλόεντα μύδρον· πεπυρακτωμένον σίδηρον, ἤτοι κεκαυμένον ἐναποσβεννύς φησιν εἰς ὕδωρ πῖνε. Τρύγα δὲ τὴν σκωρίαν λέγει. Πὰν δ' ὑγρὸν βάμμα καλεῖται, σημείωσαι, ὅτι μόνον βάμμα τὸ

23 Ταινάρῳ Meinek. Anal. Alex. p. 64.

ὄξος· εἰ δὲ μετά τινος, δηλοῖ ᾧ μέμικται. Τὴν σκωρίαν τοῦ σιδήρου τρύγα φησὶν, ἣν ἐν τῷ καμίνῳ ἡ τοῦ πυρὸς φλὸξ ἐχώρισεν ἀπὸ τοῦ σιδήρου. Χοάνοιο διχῆ· τὸ μὲν γὰρ τοῦ χωνευομένου καθαρόν ἐστι, τὸ δ' ἀκάθαρτον· διὸ καὶ διχῆ εἶπεν· καὶ ταύτην δὲ σβέσας ἐν μέλιτι, πότισον τὸ ἀπόβαμμα αὐτῆς τὸν κάμνοντα, καὶ χρυσοῦ δ' ἢ ἀργύρου τὸ βάμμα τοῦ ἐληλασμένου καὶ ζέοντος. Τήν τε καμίνων· ἥντινα ἔντοσθεν τῶν καμίνων τοῦ χωνευτηρίου διχῆ ἥλασεν ἡ τοῦ πυρὸς λιγνύς. Ἄλλοτε δὲ χρυσοῖο· καὶ ἀπόβαμμα δὲ χρυσοῦ ἢ ἀργύρου πινόμενον ὠφελεῖ, λιγνὺς δ' ἐστὶ κυρίως τὸ καπνῶδες τοῦ πυρὸς, νῦν δ' αὐτὴ ἡ φλόξ.

55. Θρίων· θρῖα δ' ἰδίως μὲν τὰ φύλλα τῆς συκῆς, ὥσπερ οἴναρα τὰ τῆς ἀμπέλου, νῦν δὲ τὰ τῆς χαμαιπίτυός φησιν, ἣ καὶ ονόγυρος καὶ σιδηρῖτις λέγεται καὶ ἰωνιὰ ἀγρία. Ὀνίτιδα λέγει τὸ ὀρίγανον, δύο δὲ γένη ὀριγάνων, ᾧ ἡμεῖς χρώμεθα, ὃ καὶ ἥμερον λέγεται, καὶ ὃ οἱ ὄνοι σιτοῦνται, ὃ καὶ παρείληφεν, ὃ καὶ ὀνῖτις λέγεται, ἧς λαμβάνειν κελεύει τὰ φύλλα εἰς ἥμισυ πληροῦντα τὸ βάθος τῆς χειρὸς, ἢ τοῦ πολυκνήμου, ἢ τῆς χαμαιπίτυος, καὶ μετὰ τεσσάρων κοτυλῶν οἴνου ποτίζειν.

57. Ῥάδιξ ἡ ῥάβδος· πολύκνημον δ' ἐστὶν οὕτω τι βοτάνιον παρὰ τοῖς ῥιζοτομικοῖς λεγόμενον, δύο δ' αὐτοῦ διαφορὰς εἶναί φασιν οἱ τὰ ῥιζοτομικὰ γράψαντες.

59. Μυελόεντα· τὴν ἐκ τῆς ἑψήσεως σύντηξιν τῶν ὀρνιθείων σαρκῶν, ἢ τὸν ὡς μυελὸν γενόμενον ἐκ τῆς ἑψήσεως· κελεύει δὲ τὴν κατοικίδα ὄρνιν ἕψεσθαι, ἕως ἂν τακῇ αὐτῆς τὰ κρέα καὶ γένηται ὡς χυλὸς, καὶ τότε προσφέρεσθαι τὸν ζωμόν.

62. Καί τε βοός· καὶ μοσχαρίου κρέατα ἑψήσας περισφριγῶντος καὶ περιπλήθοντος τῷ λίπει πλήρωσον τὸ ποτὸν τοῦ ζωμοῦ· καθ' ὑπερβολὴν γὰρ ὁ τοιοῦτος ζωμὸς ὠφελεῖ.

64. Βλασάμοιο· βαλσάμου φησὶ τὸν ὀπὸν δεῖ πίνειν μετὰ γάλακτος γυναικείου ἢ μεθ' ὕδατος.

65. Θηλυτέρης πώλοιο· πρωτοτόκου γυναικός· οὐ γὰρ ἵππου πάντως φησίν· ὅτι δὲ χρήσιμον τὸ γυναικεῖον γάλα, καὶ Ἐρασίστρατος μαρτυρεῖ ἐν τῷ περὶ θανασίμων. Τὸ δ' ἑξῆς· ἐν ταῖς σταγόσι τοῦ βαλσάμου ποτὸν χέας γάλακτος θηλυτέρας πώλου, ἤτοι τῆς ἀνθρώπου.

66. Χεύῃ· προεμέσῃ, πιὼν τούτων ἑκάτερον, προσφερόμενον χρησίμως οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τὸ ἐμέσαι. Παναεργέα δ' ἀργὸν, ἀνέψητον, ἀδιέργαστον, ἀδιάπεπτον.

67. Δερκευνέος δὲ τοῦ ὁρῶντος ἐν τῷ κοιμᾶσθαι· τοῦ δερκευνέος φησὶ σκίνακος, ὅ ἐστι τοῦ σκιρτητικοῦ λαγωοῦ, τοῦ ἐν τῷ κοιμᾶσθαι βλέποντος, καθάπερ ὁ λέων καὶ ὁ ὄφις.

69. Ἄλλοτε καὶ μορέης· καὶ συκαμίνου προστάσσει τὰς ῥίζας λαμβάνειν καὶ ἐν ὅλμῳ ξυλίνῳ κόπτειν ὁμοῦ, καὶ ἕψειν μετ' οἴνου καὶ διδόναι πιεῖν μετὰ μέλιτος· λέγει δ' οὐχ ἁπλῶς τὰς ῥίζας τῆς συκαμίνου, ἀλλὰ τὸν φλοιὸν τῆς ῥίζης.

74. Τοῦ ψιμυθίου φαρμάκου ἡ χροιὰ λιπαρῷ γάλακτι ἔοικεν ἀμελχθέντι νεωστὶ ἐν κισσυβίῳ καὶ ἔτι ἀφρίζοντι.

77. *Πελλίσι δὲ σκαφίσι, ποιμενικοῖς ἀγγείοις, ἐν οἷς τὸ γάλα ἀμέλγεται. Ὅμηρος* (Il. π 642)·

περιγλαγέας κατὰ πέλλας.

Γρώνῃσι δὲ κοίλαις καὶ βαθείαις καὶ δεκτικαῖς.

78. *Τούτου φησὶ, τοῦ λαμβάνοντος τὸ δηλητήριον τοῦ ψιμμυθίου, τὰ ἔνδον τῶν σιαγόνων καὶ ὅπου τὰ οὐλα ῥυσσαίνεται ὁ ἀφρὸς τοῦ ψιμμυθίου ἐπιστύφων ἐμπελάζει. Ἄλλως· οὐ τὰς ἐκτὸς λέγει, ἀλλὰ τὰς ἐντὸς, ὅπου οἱ ὀδόντες εἰσίν· διὸ καὶ ῥᾳδίως ῥυτιδοῦνται ὑπὸ τοῦ ψιμμυθίου ψυχόμεναι, ὡς ξηρανθεῖσαι· ὁ γὰρ ἀφρὸς αὐτοῦ ὡς λεπτομερὴς περικαθίζει τοῖς οὔλοις.*

79. *Ἀμφὶ δ' ὁλκός· περιφραστικῶς τὸ μῆκος καὶ ἡ παράτασις τῆς γλώσσης· ἡ μὲν γλῶσσά φησι τραχύνεται, ὁ δὲ νέατος ἰσθμὸς, τουτέστιν ὁ ἔσχατος, ἤγουν τὰ παρίσθμια, ἃ λέγεται ἐγγὺς εἶναι τοῦ φάρυγγος, ὑποξηραίνεται ἢ τραχύνεται.*

81. *Ξηρὰ δέ· βήσσων διὰ χέλυος, τουτέστι τοῦ στήθους, τὴν ἀναφορὰν τῶν ἐρυγμάτων ποιεῖται ἄπαυστον· καὶ Ἱπποκράτης· „ἀναχελύσσεται καὶ ἐρυγγάνει θαμινὰ πνεύματα·“ καὶ τῆς κιθάρας τὸ στῆθος χέλυς λέγεται. Χελλύσσεται· τὸ στῆθος πάσχει. Ἄλλως· χελλύσσεται, τουτέστι διὰ τὴν χέλυν τὴν ἀναφορὰν ποιεῖται βήσσων.*

82. *Ἀβλεμὲς δ' ἀντὶ τοῦ ἀδρανὲς, ὡς ἀπὸ τοῦ βλεμαίνω.*

84. *Ἄλην ἑτερειδέα· πλάνην ἀλλοειδῆ βλέπει, ἐνεργημάτων μὴ ὑποκειμένων φησὶν ὁρατικὴν φαντασίαν γίνεσθαι, δοκεῖ δὲ τοῖς ὀφθαλμοῖς ὁρᾶν φανταζόμενος μὴ ὑποκειμένων ἐνεργείᾳ τινῶν πραγμάτων.*

85. *Ὑπναλέος· ἄλλοτε δ' ὥσπερ κοιμώμενος ἀποψύχεται τὸ σῶμα καὶ ψυχροῦται ὅλος καταβαρούμενος ὕπνῳ, τῷ καμάτῳ δ' εἴκων ὑποδάμναται.*

87. *Πρημαδίης· πρημαδίη καὶ ὀρχὰς καὶ μυρτίνη εἴδη ἐλαιῶν εἰσιν, οὐδὲν δὲ διαφέρει ἐκ τούτων λαμβάνειν τὸ ἔλαιον, ἢ ἐξ ὁποίας ποτέ· οἱ γοῦν περὶ τούτων πεπραγματευμένοι ψιλῶς ἀντὶ τοῦ φανερῶς παραγγέλλουσιν. Εἶαρ ὑπὸ τῶν νεωτέρων τὸ αἷμα, τὸ λίπος· καὶ Καλλίμαχος ἐλαίας τὸ αἷμα τὸ δαῦον εἶπεν·*

πολλάκι δ' ἐκ λύχνου πῖον ἔλειξαν ἔαρ.

καὶ ἡ μυρτίνη ἥδ' ἐλαία ἐστὶ βραχὺν ἔχουσα καρπόν.

91. *Γρῆϋν· τὸν πεπηγότα ἀφρὸν τοῦ γάλακτος ἀπογράισον. ἤτοι τὸ πεπηγὸς τοῦ γάλακτος ἀπογράισον, γραῦς δ' ὁ ἐπὶ τοῦ γάλακτος γινόμενος πάγος, ἐπειδὴ ῥυτιδοῦται, ὥσπερ ταῖς γραυσὶ τὸ σῶμα συμβαίνει ῥυτιδοῦσθαι· τὸ ἐπιπολάζον τῷ γάλακτι, ὃ οἱ Σικελοὶ σῦφαρ καλοῦσιν, ἀφελοῦ, καὶ οὕτω τὸ γάλα δὸς πιεῖν.*

93. *Χυλῷ ἐνὶ κλώθοντι· τῷ ὡς νῆμα κλωθομένῳ χυλῷ τῆς μαλάχης μετ' οἴνου κόρεσον τὸν κακηπελέοντα, ἤτοι τὸν κακῶς ἔχοντα ἢ πάσχοντα.*

95. *Κελεύει κονίαν ἀπὸ τῶν κλημάτων πλύναντα καλαμίνῳ καλάθῳ διυλίζειν, καὶ μεθ' ὕδατος θερμάναντα διδόναι πίνειν· δοκεῖ*

---

32 ἐλαίας τὸ ἄλειμμα, τὸ δαῖον εἶαρ εἶπεν?

γὰρ ἡ κονία ἤγουν ἡ τέφρα ἤτοι στακτὴ ἀπορρύπτειν ἀπὸ τῶν σωμάτων πᾶν τὸ περιπλασσόμενον τοῦ ψιμμυθίου τοῖς σπλάγχνοις· ῥύμμα δὲ τὸ σμῆγμα, τὸ κάθισμα, τὸν ῥύπον· φησὶ δὲ πλύνεσθαι τὴν τέφραν τὴν κληματίνην καὶ διηθεῖσθαι ἐν τοῖς κόλποις τοῦ νεοπλεκοῦς καλάθου διὰ τὴν ἰλύν.

99. *Σκλήρ' ἀπὸ περσείης· γράφεται καὶ ξήρ' ἀπὸ περσείης· ἐν τοῖς τῶν περσεῶν λέπεσιν· οἱ πολλοὶ ὀστέον καλοῦσιν· ἐστὶ δ' ὅμοιον καρύῳ· Θεόφραστος οὖν ἐν τῷ τετάρτῳ τῶν φυτικῶν* (H. P. IV, 2, § 5) *κάρυον αὐτὸ προσηγόρευσε, κάρυα δὲ λέγονται ὅλα τὰ ξυλώδες λέπος ἔχοντα. Περσείης δ' εἶπε τὸ ἀρχαῖον ἀπὸ τοῦ Θεοδοσιακοῦ Νικάνδρου μεταγεγραμμένον.*

101. *Τῶν ἄλλων ἱστορούντων τὴν περσέαν καταφυτεῦσαι τὸν Περσέα ἐν Αἰγύπτῳ, ὡς καὶ Καλλίμαχος·*

καὶ τριτάτη Περσῆος ἐπώνυμος, ἧς ὀρόδαμνον
Αἰγύπτῳ κατέπηξεν·

ὁ Νίκανδρός φησιν ἐν Μυκήναις καταφυτευθῆναι. Γονόεντα Μεδούσης· ἐπειδὴ ὁ αὐχὴν τῆς Μεδούσης Γοργόνος ἀποτμηθεὶς ἐγέννησε τὸν Χρυσάορα καὶ τὸν Πήγασον ἵππον, ὡς Ἡσίοδος (Θεογ. 280 et 281)· ἐκ γὰρ τοῦ αἵματος αὐτῆς οὗτοι ἐγένοντο.

103. *Μύκης κυρίως τὸ ἄκρον τοῦ ξίφους, τὸ κατακλεῖον τὴν θήκην. Ἄλλως· ἀπὸ τοῦ μύκητος τοῦ ξίφους φησὶ πεσόντος ὠνομάσθαι τὰς Μυκήνας, τινὲς δ' ἀφ' ἡρωίδος Νύμφης, ἧς μέμνηται καὶ Ὅμηρος (Od. β 120)·*

Τυρώ τ' Ἀλκμήνη τε ἐυστέφανός τε Μυκήνη·

Λάγγεια δὲ κρήνη τοῦ Ἄργους. Διὸς παιδὶ τῷ Περσεῖ· ζητῶν δὲ τὴν λαβὴν τοῦ ξίφους περιέτυχε τῇ πηγῇ.

106. *Ἀκοσταῖς, πεφρυγμέναις κριθαῖς, βούλεται δὲ τὴν ἐκ κριθῆς πτισάνην λέγειν· ἀκοσταῖς οὖν ταῖς κριθαῖς παρὰ τὸ ἄκος ποιεῖν τοῖς νοσοῦσι πινομέναις, ὅθεν καὶ τὸ ἀκοστήσας, οἷον κριθιάσας, ἢ ἴαμα τῆς στάσεως εὑρών.*

107. *Γερραίης δὲ τῆς Ἀραβικῆς· Γέρρα γὰρ πόλις τῆς Ἀραβίας. Λιβάνοιο χύσιν, ἐπεὶ περίκειται τοῖς κλάδοις τὸ δάκρυον τῆς λιβάνου.*

108. *Καρύης δ' οἱ μὲν τῆς καθ' ἡμᾶς λεγομένης, οἱ δ' ἄλλου τινὸς δένδρου ξυλολεπῆ φέροντος καρπόν· κάρυον δ' ὁμωνύμως λέγεται καὶ τὸ δένδρον καὶ ὁ καρπὸς, ὥσπερ ἐλαία τό τε κότινον καὶ τὸ ἐσθιόμενον.*

109. *Πτελέης· ἀπὸ κοινοῦ τὸ δάκρυον· ὀσχοφόροι δὲ λέγονται Ἀθήνησι παῖδες ἀμφιθαλεῖς ἀμιλλώμενοι κατὰ φυλὰς, οἳ λαμβάνοντες κλήματα ἀμπέλου ἐκ τοῦ ἱεροῦ τοῦ Διονύσου ἔτρεχον εἰς τὸ τῆς Σκιράδος Ἀθηνᾶς ἱερὸν, νῦν δ' ὁ Νίκανδρος ὄσχας λέγει τὰ τῆς πτελέας κλήματα. Ὄσχαι κυρίως οἱ κλάδοι τῆς ἀμπέλου, νῦν δὲ καταχρηστικῶς καὶ ἐπὶ τῆς πτελέας εἶπε τοὺς κλάδους ὄσχας. Κόμμι δὲ τὸ κομμίδιον· οὕτω γάρ ἐστιν ἡ σύστασις αὐτοῦ, ὡς κόμμεως.*

111. *Ὁ νοῦς οὗτος· ὅπως φησὶ τὰ μὲν ἐμέσῃ, τὰ δὲ πέψῃ, ἐκλυ-*

θεὶς ἐν ἑψητοῖς ὕδασι, τουτέστι λουτροῖς· ὅτε γὰρ ὑγρανεῖ τὸ σῶμα ὁ ἱδρώς, τουτέστι μετὰ τὸ ἱδρῶσαι αὐτὸν εἰς τὸ προμάλακτον, ἵνα εὐθέως ἐμβαίνῃ εἰς τὴν ἔμβασιν, καὶ χρονίσῃ, μέχρις ὅτου ἐκλυθῇ καὶ διαπέψῃ.

115. *Κανθαρίδος· κανθαρίδες εἰσὶ τὰ κοπροφόρα καὶ σιτοφθόρα ζῶα οἱ λεγόμενοι κάνθαροι, ὧν ἡ μὲν ὀσμὴ ὁμοία ἐστὶ πίσσῃ χυτῇ, ὅ ἐστι τῷ ὑγροπίσσῳ, ἡ δὲ γεῦσις κεδρίσιν· μηδαμῶς οὖν φησιν ἐκεῖνο τὸ ποτὸν δέξαιο· τὰ ψήγματα δὲ τῆς κέδρου κεδρία λέγει κάρφη.*

119. *Ἀντὶ τοῦ ποτὲ μὲν δηγμὸν ποιοῦσιν ἐπὶ τῷ διύγρῳ ποτῷ ποθέντι τῷ χείλει, ποτὲ δὲ περὶ τὰ νείατα καὶ ἔσχατα τῆς γαστρός, τουτέστι περὶ τὸ στόμα αὐτῆς, ἤγουν περὶ τὸν στόμαχον· οἱ μὲν οὖν στόμαχον, ἄλλοι δὲ πύλην, ἄλλοι δὲ δοχεῖον βρωμάτων τὴν γαστέρα ὀνομάζουσιν· ἐκ δὲ τοῦ στόμια κατὰ συγκοπὴν γίνεται στόμα, ὡς μηρία μηρά.*

123. *Χόνδρος· τοῦ στομάχου ἔντερον, ὅθεν καὶ ὑποχόνδρια φαμεν, ἢ μέρος τοῦ θώρακος, μεθ' ὃ τὰ ὑποχόνδρια· ἀπὸ κοινοῦ δὲ τὸ δάκνεται.*

124. *Ἄλη δέ φιν· τό φιν παρέλκει· περιφραστικῶς δ' ἤθεα φωτὸς ἀντὶ τοῦ τὸν φῶτα, ὅ ἐστι τὸν ἄνδρα.*

126. *Οἷά τε δὴ γήρεια· οὕτω φέρεται αὐτῶν ἡ γνώμη, ὡς ἀκάνθης ἄνθος· γήρεια δὲ τὰ ἄνθη τὰ λευκὰ καὶ πολιοειδῆ, πάππος δ' ὁ καυλὸς αὐτῶν, ἐξ οὗ θρύπτονται καὶ πίπτουσιν, ἢ αὐτὴ ἡ σύστασις.*

128. *Τούτῳ δέ φησι τῷ φαρμασσομένῳ σὺ τὸν γλήχωνα ταῖς ποταμίαις νύμφαις τεύξας κυκεῶνα (τουτέστι γλήχωνα μεθ' ὕδατος· ἐμπληδὴν δ' ἀντὶ τοῦ πληρώσας) πόροις, ὅ ἐστι δίδου.*

130. *Νηστείρης Δηοῦς· ἰστέον, ὅτι τῆς Κόρης, ἤγουν τῆς Περσεφόνης, ἁρπαγείσης ὑπὸ τοῦ Πλούτωνος ἡ μήτηρ αὐτῆς ἡ Δηὼ περιήρχετο νῆστις ζητοῦσα αὐτήν, ὑπεδέχθη δ' ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόωντος, ὃς ἦν υἱὸς τοῦ Ποσειδῶνος ἐξ Ἁλόπης τῆς Κερκυόνος, ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας, ἥτις Μετάνειρα παρέθηκεν αὐτῇ τράπεζαν καὶ ἐκέρασεν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει, ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρὸς, ἀλφίτων δ' αὐτὴν κυκεῶνα ἐκέλευσε κατασκευάσαι, ὃν δεξαμένη ἔπιεν· Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας ἀθυμοῦσαν τὴν θεὸν ὁρῶσα γελοιώδεις λόγους καὶ σκώμματά τινα πρὸς τὸ γελάσαι τὴν θεὸν ἔλεγεν· ἦσαν δὲ τὰ ῥηθέντα ὑπ' αὐτῆς ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα, ὅπερ αὐτὴ πρῶτον εἶπεν, ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι· Ἰάμβη δὲ θυγάτηρ Ἠχοῦς καὶ Πανὸς, Θρᾷσσα δὲ τὸ γένος. Μορόεν δὲ ποτόν, τὸ ἐν κακοπαθείᾳ δοθέν· ὅτι δὲ διὰ γλήχωνος ἔπιεν ἡ Δημήτηρ τὸν κυκεῶνα καὶ διὰ τὴν χλεύην τῆς Ἰάμβης ἐγέλασεν ἡ θεὰ, ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις ὕμνοις λέγεται* (Hymn. in Cer. 192 sqq.).

---

8 κέδρινα λέγει πάρφη?

132. *Ἀθύροισιν· ὑπὸ τοῖς παγνιώδεσι λόγοις τῆς Θρᾳκικῆς Ἰάμβης, καὶ τὰ ἑξῆς.*

134. *Ἐντροχάλοιο δὲ λίνου· τουτέστι τὴν κεφαλὴν ἐψηθεῖσαν σπέρματι λίνου ἤτοι τῷ λινοσπέρμῳ καλουμένῳ· γράφεται καὶ εὐτροχάλοιο λίνοιο. Μορόεν ἢ τὸ μετὰ πόνου γινόμενον καὶ ἑψόμενον, ἢ μορίδιον ἀντὶ τοῦ αἴσιμον, ὃ ἄν τις ἐπὶ τοῦ συμφέροντος ἐκδέξαιτο, ἢ τὸ ἁρμόζον τῷ πάθει. Ὅμηρος* (Od. η 227 et ν 48)·

ἐπεὶ κατὰ μοῖραν ἔειπεν.

135. *Χιμαίρας, αἰγάγρου.*

137. *Εἰς δ' ἔμετον· ἀντὶ τοῦ ἕως ἐμέσῃς κορέσθητι, τὰ δὲ φάρμακα ἀθρόα κάτωθεν ἀναβάλλοις ἐμματέων, τοὺς δακτύλους καθιεὶς διὰ τοῦ στόματος εἰς τὴν φάρυγγα· ἐμμάττειν γάρ ἐστι τὸ καθιέναι τοὺς δακτύλους εἰς κοῖλον τόπον. Ὅμηρος* (Il. υ 425)·

ἐγγὺς ἀνὴρ, ὅς ἐμόν γε μάλιστ' ἐπεμάσσατο θυμόν,

τουτέστι καθήψατο τῆς ψυχῆς, καὶ οἷον ἐνέβαλλεν εἰς αὐτὴν χεῖρα. Ἄλλως· ἐμματεῖν ἐστι τὸ εἴς τι καθιέναι καὶ ἅπτεσθαί τινων· βούλεται οὖν δηλοῦν τὸ καθιέντα τοὺς δακτύλους ἐμεῖν βιάζεσθαι, ἔτι τοῦ ληφθέντος ἐν τῇ κοιλίᾳ παρακειμένου καὶ μήπω διὰ τῆς πύλης ὡρμηκότος πρὸς ἀνάδοσιν· τότε γὰρ μετ' αὐτῆς τῆς τροφῆς συνανενεχθήσεται καὶ τὸ φάρμακον. Μεμιασμένα δὲ δόρπα ἀντὶ τοῦ ἄπεπτα καὶ ὑπαρά· καὶ μεμιασμένα τὰ δόρπα τοῖς ἰοβόλοις φαρμάκοις ἐν τῇ πύλῃ τῆς γαστρὸς ἀναβάλλοις, καθιεὶς τοὺς δακτύλους.

139. *Νεωστὶ ἀμελχθὲν γάλα βαλὼν ἐν ἐργαλείῳ δὸς ἔνεμά φησι διὰ τῆς ἕδρας, ὅπως ὑπάρδῃς τὴν γαστέρα· ἀφόρδια γὰρ τὰ ἀφοδεύματα, οἱονεὶ τὰ ἄποθεν τῆς ὁδοῦ, ὥσπερ καὶ ἀποπατήματα τὰ ἄποθεν τοῦ πάτου, ἤγουν τῆς ὁδοῦ. Ὅμηρος* (Il. ζ 202)·

πάτον ἀνθρώπων ἀλεείνων.

142. *Κόψαι κελεύει κλήματα ἀμπέλου χλωρὰ σὺν τοῖς φύλλοις καὶ ἐν γλεύκει ἢ μέλιτι ἑψήσαντα δοῦναι πιεῖν· τοῦτο γὰρ παραδεκτέον.*

145. *Ψαφαρῆς δὲ ῥίζια γαίης· τῆς πετρώδους καὶ ὀρεινῆς γῆς· ἐν τοιαύτῃ γὰρ γῇ ἡ βοτάνη γίνεται.*

146. *Διὰ παντὸς τραχύτητα ἔχοντα. Ὕψι τέθηλε, τουτέστι τοῖς κλωσὶν ὑψηλήν· τὴν τοιαύτην γοῦν βοτάνην ἤγουν τὸ σκορπίουρον δὸς τῷ πεφαρμαγμένῳ ἑψηθεῖσαν μετὰ μέλιτος πιεῖν.*

147. *Ἡ μολόθουρος βοτάνη ἐστὶν, ἀειθαλὴς δέ· διὸ καὶ Εὐφορίων φησίν·*

πτῶκες ἀειχλωροῖσιν ἰαύεσκον μολοθούροις.

Ἔνισχνα δὲ καύλεα ἀντὶ τοῦ ἰσχνὰ καὶ καλαμώδη καὶ λεπτὰ καυλεῖα ποιεῖ· τὰ γὰρ εἰς ὕψος ἀνατρέχοντα φυτὰ λεπτὰ καυλεῖα ποιοῦσιν.

149. *Παρθενία οὐκ αὐτὴ ὅλη ἡ Σάμος, ἀλλά τις ἐν αὐτῇ εὑρεθεῖσα γῆ. Φυλλὶς δὲ τὸ καλούμενον γεωφάνιον ἐν Σαμοθρᾴκῃ καὶ Μελίφυλλον ἐκαλεῖτο, Νίκανδρος δὲ Φυλλίδα καλεῖ· κελεύει οὖν τέσσαρας δραχμὰς Σαμίας λαμβάνειν. Παρθενία γὰρ ἡ Σάμος ἐκαλεῖτο*

---

5 μοιρίδιον?

καὶ Φυλλὶς μία τῶν Νυμφῶν. Τὸν Σάμιον ἀστέρα λέγει, ὃν δοκεῖ κριὸς ἐν Σάμῳ εὑρηκέναι· Φυλλὶς γὰρ ἡ Σάμος· ἢ φυλλάδα τὴν βοτάνην ἰδίως καλεῖ, ἥν τινες μελιτόφυλλόν φασιν, ἧς τὸ χρήσιμον ἀστὴρ λέγεται· ἢ Φυλλὰς οὖν ἡ Μελάμφυλλός ἐστιν.

150. Ἰμβρασίδος· τῆς Σαμιακῆς, (Ἴμβρασος γὰρ ποταμὸς ἐν Σάμῳ) ἣν κριὸς λέγεται εὑρηκέναι, ταύτης δὲ τὸ χρησιμώτερον ἀστὴρ καλεῖται, ἐξ ἧς βούλεται ἡμᾶς ὁ Νίκανδρος λαμβάνειν.

151. Ἀμνός ἐστιν ὁ μηδέπω κέρατα ἔχων· πῶς οὖν οὗτος κεράστην εἶπεν αὐτὸν οὐκ ὀρθῶς; Χησιεῖς δὲ πρῶτον ᾠκησαν ἐν Σάμῳ, εἶτα Ἀστυπαλαεῖς.

153. Διπλήρεα· διπλῆν κελεύει πόσιν τῶν τεσσάρων δραχμῶν δοῦναι, ὅ ἐστιν ὀκτὼ δραχμῶν, καὶ σὺν τῷ ἐψήματι πηγανίου κλῶνας διδόναι, καὶ ῥόδινον μύρον ἢ ἴρινον μύρον.

155. Ὀργάζων δ' ἀντὶ τοῦ μιγνύων τὴν γῆν τὴν Παρθενίαν, ἢ καταβρέχων ἐλαίῳ ῥοδίνῳ. Ἄλλως. τῷ ἀπ' ἴριδος γινομένῳ μύρῳ, ἤγουν ἐλαίῳ, τουτέστι τὸ ῥόδινον ἔλαιον μίξας ἄλειψον μετὰ πηγάνου κλάδων.

157. Πάσηται· ὡς πρὸς δεύτερον πρόσωπον ἀποτείνεται περὶ τρίτου τινὸς, περὶ τοῦ ἀγρίου δὲ κορίου τῆς βοτάνης λέγει· εἴδη γὰρ ταύτης εἰσὶ δύο, ἥμερόν τε καὶ ἄγριον, ὧν τὸ μὲν ἥμερον εὐώδες ἐστι καὶ ἡδύ, τὸ δ' ἄγριον παραπλήσιον τῷ ἡμέρῳ, πλατυφυλλότερον δὲ καὶ εὐμηκέστερον καὶ πολλὰς ἔχον παραφυάδας καὶ πολύρριζον καὶ πολυανθὲς, τοῦτο δὲ βρωθὲν ἢ ποθὲν ἢ ἄλλως πως προσενεχθὲν θανάσιμον.

158. Ἀφραδέως δ' εἶπεν, ὅ ἐστιν ἀφρόνως καὶ ἀπείρως· τὸ γὰρ χύλισμα τοῦ κορίου τῆς γεύσεως ἀλλότριον ὑπάρχον οὐ δύναται λαθεῖν διδόμενον, εἰ μή τις αὐθαιρέτως αὐτὸ βουληθείη λαβεῖν ἐν καιρῷ περιστάσεως.

160. Λαβράξουσι· ἐν τῷ δήμῳ λάβρως φωνοῦσιν· καὶ Ὅμηρος (Il. ψ 474)·

τί πάρος λαβρεύεαι;

καὶ Αἰσχύλος (Prometh. 327)·

μὴ λαβροστόμει.

Παραπλῆγες δ' ἀντὶ παράφρονες, τὸ δ' ἐξῆς παραπληγέες τῷ οἴστρῳ, ὁ δ' οἶστρος ζῷόν τί ἐστι παραπλήσιον μεγίστῃ μυίᾳ, κέντρον ἔχον ἐπίμηκες.

161. Ὀξὺ δὲ μέλος τὸ διατεταμένον καὶ μέγα. Ἀταρμύκτῳ ἀφόβῳ, ἀπὸ δὲ τοῦ τάρβους καὶ τοῦ μύειν συντέθειται ἡ λέξις.

163. Πράμνιος δ' οἶνος ἀπ' ἀμπέλου πραμνίας, ἣν καὶ ψιθίαν τινὲς καλοῦσιν. Αὐτοκρηὲς δ' ἀντὶ τοῦ αὐτοκέραστον, ἀμιγὲς, ἄκρατον.

164. Ἀντὶ τοῦ πεπληρωμένον τοῦ θαλασσίου ὕδατος τὸ τρυβλίον.

165. Γράφεται καὶ ἀλαλὴν, ἤτοι ὅτι ἐστέρηται τοῦ λαλεῖν, ἢ ὅτι

---

15 ἄλλως τῷ? 16 τουτέστι τῷ ἰρίνῳ ἐλαίῳ?

χωρὶς στεναγμοῦ τίκτει. Ὀρταλίχων νῦν τὰς ὄρνιθας λέγει· οὐ γὰρ τὰ νήπια ὠοτοκεῖ, ἀλλὰ τὰ τέλεια, κελεύει δὲ τὸ ὠὸν κενῶσαι, καὶ ἀφρὸν θαλάσσης συμμιγνύντα κεράσαι, ἔστις ἀφρὸς τροφὴ τοῦ κέπφου ὢν καὶ θανάτου αὐτῷ παραίτιος γίνεται· οἱ γὰρ ἁλιεῖς χερσὶ τὸ θαλάσσιον ὕδωρ ἀνακλύζοντες ἀφρὸν προσενεγκεῖν καταναγκάζουσι, καὶ τοῦτον δολίως τῷ κέπφῳ προτείνουσιν, ὁ δὲ τὸν ἀφρὸν λαβεῖν ἐφιέμενος εἰς τὰς χεῖρας αὐτῶν ἔρχεται καὶ οὕτω θηρεύεται· ὁ δὲ κέπφος θαλάσσιόν ἐστιν ὄρνεον παραπλήσιον λάρῳ, ὅπερ ὡς εἴρηται ὑπὸ τῶν ἁλιέων ἁλίσκεται· χραινόντων γὰρ καὶ ποιούντων ἀφρὸν προσέρχεται τῷ ἀφρῷ, καὶ οὕτως ἁλίσκεται. Ἀπαλὴν δ' ὠδῖνα τὴν στερουμένην βίας, ἐπεὶ τίκτουσιν ἄνευ ἀλγηδόνος.

171. Ἀγλεύκην· ἀγλυκῆ καὶ πικρὰν καὶ ἐστερημένην γλεύκης, ὅ ἐστι γλυκύτητος.

172. Ἀτμεύειν δὲ δουλεύειν, ὑποκεῖσθαι· ἀτμένες γὰρ οἱ δοῦλοι· ὅτι δὲ δουλεύει ἡ θάλασσα καὶ τὸ πῦρ ἀνέμοις, κατὰ θεῖον νόμον δηλονότι, τοῦτο δὲ καὶ Ἡράκλειτος καὶ Μενεκράτης εἴρηκεν.

174. Ἀργεστὰς, οἱονεὶ τοὺς ἀνέμους. Ἀχύνετον δὲ τὸ πολύχυτον· τὸ γὰρ α ἐπιτατικόν ἐστιν· ἐκτίθεσθαι οὖν βούλεται διὰ τούτων καὶ Ἡράκλειτος, ὅτι πάντα ἐναντία ἀλλήλοις ἐστὶ κατ' αὐτόν.

175. Ἀκοσμήεσσα ἡ ἀκόσμιος, ἡ ἄτακτος, ἡ μὴ κοσμίως κινουμένη. Φιλοργὸς δὲ διὰ τὸ ῥοῶδες, ἡ φιλοῦσα ὀργίζεσθαι καὶ ὀργᾶν καὶ μαίνεσθαι διὰ τὰς τρικυμίας.

176. Δεσπόζει νηῶν· τῇ γὰρ θαλάσσῃ ὑπόκεινται τὰ πλοῖα, τῷ δὲ πυρὶ ἡ ὕλη. Ἐμφθορέων δ' αἰζηῶν, τῶν ἐν θαλάσσῃ φθειρομένων.

177. Ἡ δ' ὕλη ὑπακούει καὶ πείθεται κατὰ τὸν θεσμὸν τοῦ ἐχθομένου πυρὸς, οὐ καθόλου δὲ τὸ πῦρ ἐχθόμενον λέγει, ἀλλὰ τῇ ὕλῃ ἐχθόμενον διὰ τὸ ἀφανίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ.

178. Ἀτμένιον· πολυδούλευτον καὶ πολυκατέργαστον ἤτοι τὸ μετὰ πολλοῦ καμάτου γενόμενον διὰ τὴν τοῦ ἐλαίου σκευασίαν, ἢ ὃ οἱ δοῦλοι καὶ οἱ γεωργοὶ κατεσκεύασαν· οἱ δὲ τὸ θαλάσσιον ὕδωρ, ἐπεὶ καὶ ἀνωτέρω εἴρηται· ἦν τε καὶ ἀτμεύειν (172)· κελεύει δ' ἔλαιον μιγνύντα μετ' οἴνου νεωστὶ πεπατημένου πίνειν, ἢ χιόνα μετὰ γλεύκεος.

180. Ζάγκλῃσι· ταῖς δρεπάναις τῶν τρυγητῶν.

181. Ῥυσαλέην δὲ τὴν ἐρρυσσωμένην, ἤτοι τὴν πεπανθεῖσαν καὶ πέπειρον. Ἑδανοῖο τοῦ ἡδυτάτου, τοῦ γλεύκους. Ψιθία δ' εἶδος ἀμπέλου, ἥτις καὶ πραμνία λέγεται. Ἑλίνοιο, τοῦ κλάδου τῆς ἀμπέλου.

182. Κείροντες· κόπτοντες πατοῦσι καὶ πιέζουσι τῷ καιρῷ, ὅτε ῥοιζηδὸν αἱ μέλισσαι ἐπὶ ταῖς ῥαξὶ τῶν βοτρύων πεσοῦσαι νέμονται τὸ γλεῦκος.

183. Πεμφρηδὼν δὲ ζῷόν ἐστι τῶν σφηκωδῶν, μεῖζον μὲν μύρμηκος, μελίσσης δ' ἔλασσον, ἐπτέρωται δὲ καὶ ποικίλην ἔχει λευκῷ καὶ μέλανι τὴν ἐπιφάνειαν, τοῦτο δὲ κατὰ τὴν ὀρεινὴν νεμόμενον δρέπεται ἀπὸ τῶν ἐν τοῖς ἄγκεσι θάμνων παντοῖα ἄνθη, καὶ φερόμενον εἰς

τὰς κοίλας καθίπταται δρῦς. Καὶ αἱ βεμβίδες δὲ τῶν σφηκωδῶν εἰσιν εἶδος μελισσῶν, ἃς ἔνιοι βέμβικας καλοῦσι· ταῦτα δὲ πάντα εἴδη μελισσῶν εἰσιν, ἃ δὴ ἐπινέμεται πεπείρους ὄντας τοὺς βότρυας.

185. Κηκὰς δ' ἡ ἀλώπηξ, ἤτοι κακωτικὴ, κακοποιὸς, κακοῦργος ἢ χλευαστική· Καλλίμαχος·

κηκάδι σὺν γλώσσῃ·

186. Κωνείου. Τοῦτο οἱ μὲν κορίαννον, οἱ δ' ἀννησοειδὲς καλοῦσι, σημεῖον δὲ τούτου τὸ καρηβαρεῖν. Φοινὸν δ' ἀντὶ τοῦ πεφοινιγμένον ἢ ὀλέθριον, φόνιον, κατὰ πλεονασμὸν τοῦ ι.

189. Σφαλλόμενοι δὲ τοῖς σκέλεσι ταῖς χερσὶ βαδίζουσιν, ὅ ἐστι πίπτοντες ἐπερείδονται αὐταῖς.

191. Ἤτοι τὰ ἐσωτέρω καὶ κατωτέρω τοῦ στόματος.

192. Αἱ ἀρτηρίαι φησὶ μεγάλως σφύζουσιν, αἳ πρὶν ἐρρωμέναι συστέλλονται.

193. Ἀτίζει δ' ἀντὶ τοῦ ἀτενίζει, βλέπει νῦν, ἢ ἕλκει, ὅ ἐστι σπᾷ τὸν ἀέρα καὶ ὀλίγον ἀναπνεῖ, εἰ καὶ ἐπὶ τῆς ταραχῆς αὐτὸ τέθεικεν Ὅμηρος εἰπών (Il. ζ 468)·

πατρὸς φίλου ὄψιν ἀτιχθείς.

γράφεται καὶ ἀλύξει, οἷον· „ἠέρα παῦρον ἀλύξει".

194. Κατηβολέων· λειποθυμῶν, τὴν ὑστάτην εἱμαρμένην ἔχων, ὁ δ' οἷα ἐν καταβολῇ ὢν καὶ κάτω διὰ λειποθυμίαν βλέπων, ὀλίγον ἀέρα διὰ τῆς ἀναπνοῆς ἕλκων, τὸν θάνατον ὁρῶν, καταπίπτων.

197. Τεῦχος κατασκεύαζε ἐμβαλὼν ἀντὶ τοῦ παραπέμψας· ἐν δὲ τῷ μὴ λέγειν κλυστῆρα ποῖον, δῆλον ὅτι κοινὸν λέγει.

198. Δάφνης δὲ Τεμπίδος· Θεσσαλικῆς, διότι πρῶτον ἐκεῖ εὑρέθη τὸ φυτὸν, κατέστεφε δὲ χαίτην Δελφίδα εἶπε διὰ τὸ τὴν κόρην διωκομένην ὑπ' Ἀπόλλωνος εἰς τοῦτο τὸ φυτὸν μεταβληθῆναι, ἐξ οὗ ἔχει καὶ τὸ ὄνομα. Δάφνη γὰρ ἡ κόρη ἐλέγετο, καὶ Ἀπόλλων ἰδὼν αὐτὴν μεταβληθεῖσαν εἰς τὸ φυτὸν ἐξ αὐτοῦ τοῦ φυτοῦ ἐστέψατο, λέγει δέ· ἢ ἀπὸ δάφνης κατὰ κοινοῦ πόσιν δίδου, τουτέστι δαφνέλαιον δὸς πιεῖν.

201. Κνίδην λέγει τὴν ἀκαλήφην, εἴρηται δ' ἀμφότερα διὰ τὸ κνήθειν· καὶ γὰρ ἡ ἀκαλήφη παρὰ τὸ κάλφεσθαι· ἔστι δὲ καὶ θαλάσσιον ζῶον ἀκαλήφη λεγόμενον· φησὶ γοῦν ὅτι καὶ κνίδης σπέρμα σὺν πεπέρει λεάνας διὰ τὸ σφόδρα θερμαντικὸν δίδου χρῆσθαι.

202. Ἐμπευκέι ὀπῷ χράνας ἀντὶ τοῦ μίξας τῷ πικρῷ ὀπῷ, λέγει δὲ τῷ κυρηναϊκῷ.

203. Τὸ ἀπὸ τῆς ἴριδος βοτάνης γινόμενον ἔλαιον, ἴρινον δὲ μύρον λέγει· αὕτη ἡ βοτάνη εὔπνους ἐστί· παραλέλοιπε δὲ τῆς πόσεως τὴν ποσότητα.

204. Κελεύει δὲ καὶ σιλφίου ῥίζαν τρίψαντα μετὰ λευκοῦ ἐλαίου παρέχειν πίνειν· τὸ δὲ σίλφιον καὶ ῥιζίου Κυρηναϊκὸν καλοῦσί τινες, ἐξ οὗ γίνεται ὀπός. νῦν δὲ περὶ τοῦ ῥιζίου φησίν.

205. Μελιζώρου ἀντὶ τοῦ μελικράτου.

---

1 βεμβῖδες? 23 παραπέμψαις?

206. *Καὶ γάλακτος δὲ τὸ ἀφρῶδες, τουτέστι τὸ ἐπιπόλαιον καὶ πεπηγὸς ὡς ἀφρὸς νέμε, ἐπὶ πυρὸς θάλψας τὸ τεῦχος ἠρέμα, ὅ ἐστι θερμάνας, τουτέστιν ἵνα χλιάσῃς αὐτόν.*

207. *Ἡ σύνταξις οὕτως· καὶ τὸ ἐπὶ τῷ λοιγήεντι τοξικῷ ἄχθος ἀμύνοις καὶ ἀποδιώξοις. Παρασχεδὸν ἀντὶ τοῦ παραχρῆμα, λείπει δὲ τὸ οὕτω, ἵν' ᾖ· οὕτως ἀμύνοις καὶ διώξοις· τοξικὸν δὲ καλεῖται τὸ τοιοῦτον φάρμακον διὰ τὸ ὁμοίως τοῖς τοξεύμασιν ἀναιρεῖν παραχρῆμα βρωθὲν ἢ ποθέν, ἢ ἐπεὶ οἱ Πάρθοι καὶ Σκύθαι τοξεύοντες τούτῳ παραχρίουσι τὰς τῶν βελῶν ἀκίδας· οὐ γάρ, ὥς τινες, τὸ κώνειον νομιστέον· ἢ διότι ὁμοίως τόξου ἀφέσει ἀναιρεῖ βρωθὲν ἢ ποθὲν λέγεται ὑπό τινων Σκυθικόν· ἄλλοι δὲ λέγουσιν, ὅτι ἐκ τοῦ αἵματος τῆς ὕδρας ἀνεφύη, τὴν δ' ὕδραν ἀνεῖλεν ὁ Ἡρακλῆς, καὶ διὰ τοῦτο τοξικὸν καλεῖται.*

208. *Ἡνίκα πιών τις βαρύνηται ὑπὸ τῶν ὀδυνῶν. Παχύνεται δ' οἰδαίνεται, καὶ τὸ οἰδαλέα διῳδηκότα καὶ ἐξωγκωμένα.*

211. *Ξηρὰ, ἐπειδὴ ξηραίνει τὸ δηλητήριον, τὰ δ' οὖλα τῶν ὀδόντων ἐκ βάθρων ῥήγνυνται.*

213. *Ἔμπληκτον· μανιῶδες, μανικόν. Μεμόρηκεν, ἐκάκωσε, παρὰ τὴν μοῖραν.*

214. *Μηκάζει δ' ἀντὶ τοῦ μηκᾶται ὡς πρόβατον, οἱονεὶ οὕτω βοᾷ καὶ κράζει, φλύζων, φλυαρῶν ὑπὸ τῆς μανίας· καὶ οἱ Ἰταλιῶται τοὺς φλυαρογραφοῦντας φλυζογράφους ἐκάλουν.*

215. *Συνεχῶς δέ φησιν ἀχθόμενος βοᾷ. Ἐμπελάδην οἱονεὶ ἐμπελαστικῶς καὶ ὁρμητικῶς, ὁποιά τις φὼς, ἤγουν ἀνὴρ, τὴν ἀμφιβρότην κώδειαν ἀποτμηθεὶς ξίφει· τοῦτο γὰρ τὸ ἀπαμηθεὶς, κώδειαν δὲ νῦν τὴν κεφαλὴν, καὶ ἀμφιβρότην τὴν ὅλον τὸν ἄνδρα συνέχουσαν κεφαλήν· ἡ γὰρ κεφαλὴ συνέχει πᾶν τὸ σῶμα· καὶ Ὅμηρος δὲ κώδειάν φησι τὴν κεφαλὴν, (Il. ξ 499)·*

ὁ δὲ φὴ κώδειαν ἀνασχών.

Ἄλλως· καὶ γάρ φησιν, ἐνίοτε πλησιάζοντος αὐτῷ ἀνθρώπου τινὸς, μισανθρωπίαν νοσῶν καὶ βαρούμενος προΐεται φωνὴν ὡς ἀποκεφαλιζόμενος· τοῦτο δ' εἶπε πλανηθεὶς ἐκ τοῦ ποιητοῦ καὶ κακῶς νοήσας τό (Il. κ. 457 et Od. χ 329)·

φθεγγομένου δ' ἄρα τοῦ γε κάρη κονίῃσιν ἐμίχθη.

217. *Κερνοφόρος· ἡ τοὺς κρατῆρας φέρουσα ἱέρεια· κέρνους φασὶ τοὺς μυστικοὺς κρατῆρας, ἐφ' ὧν λύχνους τιθέασιν· ζάκορος δ' ἡ νεωκόρος, καὶ βωμίστρια ἡ ἱέρεια τῆς κρατηροφόρου Ῥέας.*

218. *Εἰνάδι δ' ἀντὶ τοῦ ἐννάτῃ τοῦ μηνὸς ἠγουν τῆς σελήνης· τότε γὰρ τὰ μυστήρια αὐτῆς ἐπιτελοῦσιν· ἢ εἰκάδι, τῇ εἰκοστῇ τῆς σελήνης· τότε γὰρ κατὰ τὴν σελήνην ἐμέτρουν τὸν ἐνιαυτόν.*

220. *Ἰδαίης· τῆς ὀρεινῆς· Ἴδη γὰρ καταχρηστικῶς πᾶν ὄρος καλεῖται. Τρέουσι δ' ἤγουν οἱ Κορύβαντες, ἢ οἱ παρατυχόντες φοβοῦνται, ὅτ' Ἰδαίης τὸν ῥιγηλὸν ὑλαγμὸν εἰσαΐωσιν.*

221. *Βρυκανάαται· γράφεται καὶ βρυχανάαται, βρυχᾶται, κλαυ-*

---

37 ἡ κρατηροφόρος τῆς Ῥέας?

θμυρίζει, ὡς παιδίον φωνεῖ, ἢ δακρύει, ὡς Μένανδρος. Ὠρυδὸν δ' ἀντὶ τοῦ μετ' ὠρυγῆς, ὡς λύκος ὠρυόμενος.

222. Ἀντὶ τοῦ καθάπερ ταῦρος.

224. Διὰ τὸ ἀστατεῖν αὐτὸν δέσας φησὶ προσένεγκε αὐτῷ βοηθήματα καὶ μὴ καταδεχομένῳ μηδὲ θέλοντι, κατ' ὀλίγον οἶνον διδοὺς κόρεσον καὶ μεθυσθῆναι ποίησον ἀνενοχλήτως, ἡσύχως δὲ βιαζόμενος τῇ σῇ χειρὶ ἄνοιγε τὸ μεμυκὸς αὐτοῦ στόμα, ἕως οὗ ἐμέσῃ, καὶ μετὰ τὸν τοῦ γλυκέος ἔμετον πότισον αὐτὸν ζωμὸν πολὺν χήνειον, προσφέρων αὐτῷ καὶ τῶν ἐαρινῶν ἀγρίων ἢ ἡμέρων μήλων τὰς σάρκας, ῥίψας τὸ δέρμα αὐτῶν· ἐὰν δὲ μὴ παρῶσι ταῦτα, τῶν λεγομένων στρουθομήλων ὁλοσχερῶς ἐμφόρησον αὐτόν.

225. Τουτέστι τὸν θώρακα πλήρωσον, ἤγουν χόρτασον αὐτὸν οἴνῳ γλυκεῖ, καὶ μὴ χρῄζοντα ἠρέμα βιαζόμενος, καὶ μὴ κακώσῃς αὐτόν.

226. Βρῦκον τὸ μεμυκὸς στόμα· συνερείδει γὰρ τοὺς ὀδόντας τὸ βρῦκον αὐτοῦ στόμα φησίν, ἤγουν τὸ συνδεθὲν καὶ σφιγχθέν. Ὀχλίζοις, οἱονεὶ ἄνοιξον, ὡς ἂν τὴν λώβην ἐμέσῃ δαμαζόμενος καὶ νικώμενος διὰ τοῦ ποτίζειν αὐτὸν τῇ χειρί σου.

229. Μεμορημένον ἀντὶ τοῦ δεδασμένον καὶ ἐψηθέντα τῷ πυρί.

230. Μηλείης δὲ τῆς μηλέας τὰ κάρφη ἤγουν τὰ δέρματα ἢ τὰ ἄνθη. Γράφεται δὲ καὶ ῥηχώδεος καὶ τρηχώδεος, ἀμφότερα κατὰ τοῦ αὐτοῦ σημαινομένου, τῆς τραχείας.

231. Σίνεα· τὰς σινωτικὰς ἀκάνθας ἀποβαλὼν, ἢ μᾶλλον τὰ δέρματα τῶν μήλων λεπίσας.

232. Ἐπήβολα, ἤγουν μέτοχα τοῖς ἡμετέροις χωρίοις, τουτέστι τὰ τοῖς ἡμῶν κλήροις ἤγουν κήποις ἐπιβάλλοντα, οἱονεὶ τὰ ἡμέτερα.

233. Ἐνεψιήματα δὲ τὰ παίγνια· παίζουσι γὰρ αἱ κόραι καὶ τέρπονται τοῖς μήλοις.

234. Καὶ τὰ στρούθεια δ' εἴδη μήλων, οἱ δέ φασιν εἶδος βοτάνης, τὸ δὲ κυδώνιόν φησι μῆλον. Κυδῶνος, τοῦ στυπτικοῦ κυδωνίου, ὃ μάλιστα ἐν τῇ Κρήτῃ φύεται.

235. Ἐκόμισαν δ' ἄναυροι, τουτέστιν ἔθρεψαν αἱ ὄχθαι τῶν ποταμῶν τὰ κυδώνια.

236. Ἄλις δ' ἀντὶ τοῦ ἱκανῶς, καὶ ἀολλέα ὁμοῦ κόψας.

237. Ὀσμήρεα, ὀδμὴν ἔχουσαν, εὐώδη.

239. Ῥοδέοις, τοῖς ῥόδοις, ἢ ῥοδίνου ἐλαίου. Καὶ θυόεν μαλλοῖσιν ἀφύσσων παῦρα λίπος ἀντὶ τοῦ θυόεν τὸ εὐῶδες ἐν τοῖς ῥόδοις ἔλαιον ἤτοι τὸ ῥόδινον στάζε μετ' ἐρίου εἰς τὸ στόμα αὐτοῦ.

241. Ἰρινέου δὲ τοῦ ἀπ' ἴριδος γινομένου μύρου.

242. Ἀκροσφαλὲς τὸ ἄκρως σφαλερόν.

244. Γερραῖοι ἔθνος Ἀραβίας ἀπὸ Γέρρας, μιᾶς αὐτῶν πόλεως. Νομάδες δὲ νομάδα βίον ἔχοντες· τούτῳ φησὶ τῷ τοξικῷ οἱ ἐν τῇ Γέρρᾳ τῆς Ἀραβίας καὶ οἱ περὶ τὸν Εὐφράτην πρὸς τὰς αἰχμὰς αὐτῶν χραίνουσιν, ὅ ἐστι βάπτουσιν. Οἱ Γερραῖοι τῷ τοιούτῳ φαρμάκῳ βουλόμενοι χρῆσθαι καὶ τοὺς αὐτὸ προσενεγκαμένους τοῖς εἰρημένοις βοηθήμασιν ἰᾶσθαι, οὕτω δοκιμάζουσι τὰ ἀλεξιφάρμακα· μέρος τοῦ ἑαυ-

τῶν ποδὸς χαράξαντες αἷμα ἀφιᾶσι, καὶ εὐθὺς προσάπτουσι τὸ φάρμακον· ἐὰν γοῦν ἀναδράμῃ διὰ τοῦ αἵματος, τάχιον τοῖς βοηθήμασι τούτοις καθαίρουσιν αὐτό, πρὶν ἐμπεσεῖν τὸν ἰὸν εἰς τὴν καρδίαν.

248. Ἔρφος δὲ τὸ δέρμα, ὅπερ οἱ Ἴωνες στέρφος λέγουσιν· διὸ καὶ στερφῶσαι λέγομεν ἐν τῇ συνηθείᾳ.

249. Μηδείης· ἤτοι τὸ ἐφήμερον σπευαστικόν ἐστι φάρμακον, ὃ καλεῖται κολχικὸν, ὃ βαρβαρικὸν, ὃ καὶ οἱ βάρβαροι νάφθαν καλοῦσιν, ὃ οἱ χριόμενοι ἢ ἱμάτιον ἀληλιμμένον ὑπ' αὐτοῦ φοροῦντες ἢ ἄλλο τι, ἐὰν ἔναντι ἡλίου στῶσιν, ὡς ὑπὸ πυρὸς κατεσθίονται δαπανώμενοι· ἔστι γὰρ καυστικὸν, δοκεῖ δ' ἡ Μήδεια τὴν κατασπευὴν αὐτοῦ εὑρηκέναι, διὸ καὶ κολχικὸν λέγεται· οἱ δ' ἶριν αὐτὸ προσαγορεύουσιν, ἄλλοι φαρικὸν, ἕτεροι ἐφήμερον, ὅτι ἐν αὐτῇ τῇ ἡμέρᾳ ᾗ ποθῇ ἀναιρεῖ γίνεται δὲ παρὰ τὸν Ὕπανιν τὸν ποταμὸν· τοῦτο γεννᾶται ὄρθρου, μαραίνεται δὲ περὶ μεσημβρίαν· ἢ διὰ τὸ ἡμέραν ὅλην μὴ δύνασθαι ἐξαρκεῖν τοὺς πιόντας αὐτό· τοῦτο οὖν τὸ ἐφήμερον ἐν μὲν τῇ γεύσει εὐθὺς τὰ εἴσω τῶν χειλέων κινεῖ πρὸς κνησμόν, ὡς ἀπὸ γάλακτος συκῆς, ἢ σκίλλης ἢ κνίδης, ἐν δὲ τῇ καταπόσει ἐσθίον τὸν στόμαχον καὶ δηγμοὺς ἱκανοὺς παρέχον βάρος εἰς αὐτὸν ἐνίησιν, ἔπειτα σφοδρῶς αὐτὸν καταξέσαν ἕλκοι τοσοῦτον, ὥστε ποτὲ μὲν ἐμεῖν ὅμοιον πλύματι κρεῶν θολερῶν, ποτὲ δὲ κόπρον προϊέναι· βοηθεῖ δὲ τοῖς πεπωκόσι τὸ φάρμακον γάλα ποθὲν, ἐναποβεβρεγμένων εἰς αὐτὸ δρυὸς φύλλων· ποιοῦσι καὶ τὰς περὶ τὴν κεφαλὴν θάλψεις· ἢ γάλακτος βοείου προσαγωγῇ, τοῦ μὲν πινομένου εἰς κύρον θερμοῦ, τοῦ δ' ἐν τῷ στόματι τηρουμένου· βοηθεῖ δὲ καὶ ὁ βλαστὸς τοῦ πολυγόνου, ἢ καὶ ἡ ῥίζα κατακοπεῖσα καὶ ἐν γάλακτι ἑψηθεῖσα, ἢ ἐν ἀποβρέγματι μήλων, ἢ κυδωνίων, ἢ στυπτικῶν μύρτων, ἢ ἐλίκων ἀμπέλου, ἢ βάτου κλάδων, καὶ τοῦ ἕρπύλλου τὰ φύλλα ἑψηθέντα ἐν ἀποβρέγματι τῶν ἐντοσθίων τοῦ νάρθηκος, ἢ σαρδιανῶν βαλάνων. καὶ ποθέντα βοηθεῖ, καὶ ἡ ἐντεριώνη τοῦ νάρθηκος τετριμμένη ποθεῖσα. βοηθεῖ δὲ καὶ ἡ ὀρίγανος λειανθεῖσα.

252. Νιφόεντι λευκῷ, οἷα τῷ ὀπῷ τῆς συκῆς.

253. Σπειρώδει δὲ σπερματώδει ἢ πολλαῖς περιβολαῖς περιπαλυπτομένῃ· αὕτη γὰρ ἡ βοτάνη ἐν τῇ κεφαλῇ τὸ σπέρμα ἔχει· ἢ σπειρώδει τῇ πολλὰ σπεῖρα, ἤγουν ἐνδύματα, ἐχούσῃ.

254. Ἤγουν τὴν ἁπαλὴν σάρκα ἐπυράκτωσεν.

255. Ἐπισχομένοιο δὲ, καταποθέντος.

256. Ἀνερεπτόμενον, ἤγουν ἀνερευγόμενον τῇ περιτρίψει. Συρμῷ δὲ, τῇ ζέσει καὶ τῇ ὀλεθρίᾳ καύσει τὸν στόμαχον ἑλκωθέντα.

257. Ἀπήμεσε δ' ὥσπερ θολερὸν πλύμα ἀπὸ κρεῶν ὁ μάγειρος ἐχχέει, τοιοῦτόν φησι ῥιπαρὸν καὶ ὄζον, συναποβάλλει δὲ καὶ ἡ νηδὺς μεμιασμένα ἀποπατήματα, ἤγουν ἀφρώδη.

260. Πολλάκις μὲν καὶ τῆς φηγοῦ φησι τὴν χαίτην βάλλοις ὁμοῦ τοῖς ἀκύλοις, τουτέστι τῷ καρπῷ. Οὐλάδα δὲ τὴν ὑγιαστικήν (Od. ω, 402)·

---

8 ᾧ οἱ χριόμενοι? 22, 23 προσαγωγή? 28 ποθέντα· βοηθεῖ καὶ ἡ?

οὖλέ τε καὶ μέγα χαῖρε.

261. Ἤγουν σὺν αὐταῖς ταῖς βαλάνοις· διαφέρει γάρ φησι δρῦς καὶ φηγὸς, εἰ μή που φηγὸν τὴν πρῖνον εἶπεν· ἄλλη γὰρ δρῦς, καὶ ἄλλη φηγὸς, καὶ ἄλλη πρῖνος, τὰ δὲ τρία δρύες καλοῦνται.

263. Οὗτος ὁ φαρμαχθεὶς τούτου κορεσθείη καὶ ἐν τῷ στόματι κατάσχοι.

264. Τὸ δὲ πολύγονον βοτάνη ἐστὶν ἐν τῷ πίνεσθαι ἐντατική· ἢ τὰ ῥιζεῖα τοῦ πολυγόνου γάλακτι ἑψηθέντα καὶ κατατριβέντα βοηθεῖ.

266. Τὸ δ' ἀμπελόεις ἀμπελοέσσας· ὁ τρόπος μετάληψις, ἄλλοι δ' αἰτιατικὴν πληθυντικῶν φασιν εἶναι ὁμόφωνον τῇ εὐθείᾳ, αἱ ἀμπελόεις γάρ ἐστιν, ὡς τὰς πανηγύρεις αἱ πανηγύρεις.

267. Ὁμοίως καὶ τοὺς κλάδους τοῦ βάτου· εἴρηται δὲ βάτος διὰ τὸ ἄβατος εἶναι.

268. Νέα δὲ τέρφη ἀντὶ τοῦ χλωρὰ λέπη καστάνου, τοῦ εὖ τρέφειν δυναμένου.

269. Δασυφλοίοιο εἶπε, διότι χνοώδης ὁ ἐντός ἐστι φλοὺς, ἢ τὸ δασὺ πρὸς τὸ στρυφνὸν τοῦ λέπους ἔφη· γράφεται δὲ καὶ λαχυφλοίοιο, ἤτοι ἐλάχιστον φλοιὸν ἔχοντος.

270. Νείαιραν δὲ σάρκα τὴν ἐσωτάτω λέγει· ἀμφοτέρους γὰρ τοὺς φλοιοὺς ἀφελέσθαι κελεύει· νείαιραν οὖν τὸν ἐνδότερον περὶ την σάρκα ὑμένα, τὸν στύφοντα λέγει. Σκύλος· τὸ δέρμα ἤτοι τὸ ἔνδυμα, ὅθεν καὶ τὸ σκυλεύω, νῦν δὲ τὸ μαῦρον καὶ ξηρὸν λέγει ἔνδυμα· γυμνώσειας δὲ σὺ τοῦ καλῶς τεθραμμένου καρύου ἢ τοῦ καλῶς τρέφοντος τοῦ καστάνου τὰ νέα τέρφη τοῦ δασυφλοίου, τὸ δὲ κάλυμμα, ὅπερ κατὰ τὴν νειαρὰν ἐστι σάρκα περὶ σκύλος, ἤγουν περὶ τὸ δέρμα καὶ ἔνδυμα τὸ μέλαν, τουτέστι τὸ μετὰ τὴν ἄκανθαν, ἐκεῖνό φησιν ἐψήσας δίδου πιεῖν, οἱονεὶ τὸ στῦφον.

271. Τὸ Καστανὶς ἔτρεφε, πόλις Θεσσαλίας, ὅθεν τὰ καστάνια ἀπὸ τῆς Καστανίδος γῆς· ἢ Καστανὶς πόλις Πόντου, ὅπου πλεονάζει τὸ καστάνιον. Καστανέα ὄρος Θεσσαλίας, ἐξ οὗ τὰ κάστανα· τῶν δὲ καστάνων τὸ μὲν σαρδιανὸν, τὸ δὲ λόπιμον, τὸ δὲ μαλακὸν, τὸ δὲ γυμνόλοπον.

273. Τουτέστι τῆς κλοπῆς τῆς ἑστιώσης τὸν νάρθηκα, ἤτοι τὸν κλέψαντα τὴν κλοπὴν τοῦ κλέπτου Προμηθέως· κλοπὴν γὰρ λέγει αὐτὸ τὸ πῦρ.

274. Φιλόζωον δὲ λέγει τὸν ἔρπυλλον, διότι ἀεὶ ἀνθεῖ καὶ οὐδέποτε φυλλορροεῖ.

275. Εὐφίμου δὲ τοῦ φιμοῦντος τῇ στύψει, ἤτοι τοῦ στυπτικοῦ.

279. Τὸ τοῦ ἰξοῦ δηλητήριον. Ἰξία δὲ καὶ βούπρηστις σιλφίων γένη μελαινῶν, πινόμενα δὲ κατέχει τὴν τροφὴν, ὡς ἰξός.

280. Οὐλοφόνον δὲ τὰ οὖλα βλάπτον, ἢ ὅλον φονευτικόν. Ὠκιμοειδὲς δ' ὅπερ μάλιστα ὡς ὤκιμον ὄζει· ὤκιμον δ' εἶδος βοτάνης παραπλήσιον ἡδυόσμῳ, ἀλλ' οὐ δασύ ἐστιν.

282. Ἐμπλάζεται ἤτορ ἀντὶ τοῦ περιφέρεται τῇ διανοίᾳ, ἤτοι ταράσσεται καὶ ἔμπληκτος γίνεται· καὶ λυσσηθεὶς ἀντὶ τοῦ μανεὶς κατατρώγει τὴν γλῶσσαν αὐτοῦ. Ἰξία γένος ἐστὶ τῆς σίλφης, ἐστὶ δὲ τῇ χροιᾷ μέλαν, τῇ δ' ὀσμῇ ἐν τῇ πόσει ὅμοιον ὠκίμου σπέρματι, ἤτοι τῆς

βασιλικοῦ πνοὴν ἔχον, ποθὲν δὲ τὸ φάρμακον τοῦτο τὴν μὲν γλῶσσαν οἰδεῖ, φλέγον αὐτήν, καὶ παραφροσύνην ἐμποιοῦν ἐσθίειν αὐτὴν παρασκευάζει, δίκην δ' ἰξοῦ τὴν τροφὴν κατέχει, ἔμφραξιν ἐργαζόμενον οὔρου τε καὶ κόπρου, καταπνῖγον δὲ τὸ πνεῦμα περὶ τὰς στενὰς τῶν ἐντέρων ὁδοὺς εἱλεῖσθαι ποιεῖ καὶ δι' ἕδρας ψόφους παρασκευάζει, ἢ διὰ στόματος ἐρεύγεσθαι δίδωσιν. Τοῦτο τὸ ποτὸν πολλάκις ἐμεῖν παρασκευάζει τὴν τροφὴν παραπλήσιον τοῖς ἄνευ ὀστράκων ὠοῖς τῶν ὀρνίθων, οἷον τοῖς ἀτελέσι καὶ ἐν τῷ ὑμένι οὖσι, τουτέστι νεωστὶ τεθρομβωμένοις ἐν τοῖς ἐγκάτοις αὐτῶν καὶ ὑμένας μόνους ἔχουσιν.

285. Εἰκῇ· ἀδιαχώριστόν φησι γίνεται, εἰκῇ καὶ ἄνευ λόγου ἐντὸς ἐνειλούμενον τὸ πνεῦμα ψόφον ἀποτελεῖ.

287. Ἐν ὀλίγῳ δὲ φυσήματι ἕλίσσεται, τουτέστιν ἐν μικρῷ πνεύματι ταράσσεται· μικρὸν γὰρ τὸ πνεῦμα εὐθὺς ἀπολύει. Ὀγμῷ τῷ ἀναφερομένῳ πνεύματι, ἄρτι δὲ καὶ τῷ φερομένῳ, λέγει δὲ καὶ τοῦ φυσέλου, οὗ τὴν ὑπερβολὴν εἴκασε βροντῇ, φαντασίαις δὲ βροντῶν ἢ ἤχων θαλασσίων· ἢ ὁποῖος ῥόχθος ἐπηχεῖ ταῖς σπιλάσιν· πολλάκις δέ φησι ταῖς βρονταῖς τοῦ Ὀλύμπου ὁμοιούμενος, ποτὲ δὲ τοῖς ἤχοις τῆς θαλάσσης παραπλήσιος ὤν.

288. Ἀνομβρήεντος δὲ πολυόμβρου, ὥς φησιν Ὅμηρος (Od. ξ, 43 et 44)·

οὐδέ ποτ' ὄμβρῳ.

δεύεται

291. Στρευγομένῳ· ἐλαυνομένῳ ἢ συνεχομένῳ, οἱ δὲ γλωσσογράφοι κατὰ στράγγα ἀπολλυμένῳ.

292. Λύματα δ' ἀκαθαρσίας ἀντὶ τοῦ καθάρματα· τὰ πινόμενά φησι τῶν φαρμάκων παρασκευάζουσι διεφθορυῖαν τὴν τροφὴν παραπλησίαν τοῖς ἄνευ λεπύρου τικτομένοις καὶ διεφθαρμένοις ὠοῖς· πολλὰ γὰρ διά τινα πληγὴν ἢ περίστασιν ἐκβάλλει ἡ ὄρνις χωρὶς τοῦ κελύφου τῶν ὠῶν.

293. Φαρμακόεις δ' ἀντὶ τοῦ φαρμακόεσσαι, ἀλεξιφάρμακοι· αἱ φαρμακώδεις πόσεις φησὶ τὰς ἀκαθαρσίας ἔχεαν ὁμοίας τοῖς ὠοῖς, οἷα ἡ νομὰς ὄρνις ἐκβάλλει νεωστὶ τεθρομβωμένα καὶ φυσοειδῆ χωρὶς τοῦ κελύφου.

294. Καὶ αἰχμητῇσι νεοσσοῖς· τοῖς ἀλεκτρυόσι δηλαδή· οὗτοι γὰρ πρὸς ἀλλήλους πολεμισταὶ γίνονται.

295. Πάσχει γὰρ καὶ ἀπὸ πληγῆς καὶ ἐκ πλήθους ἐναποκειμένου αὐτῇ· τὸ ῥίπτειν φησὶν ἀτελῆ τὰ ὠὰ καὶ οἷα φύσας τινὰς καὶ ἀνύστρακα πολλάκις καὶ ἀπὸ νόσου γίνεται αὐτῇ.

297. Δύσπεπτον δὲ γόνον ἀντὶ τοῦ ἀμετάβλητον τὸν γόνον ἔτι ἐν τῷ ὑμένι ὄντα ἐκβάλλει.

298. Εὐβρεχέος· τῷ μὲν τοῦτο πεπωκότι τὸ ἄλγος ἀρήξει τὸ μετὰ γλεύκους ἐνστῦφον πόμα τοῦ ἀψινθίου· εἴωθε γὰρ τὰ πικρὰ καὶ δριμέα στύφοντα καλεῖν· τοὺς γοῦν ὄμφακας ἐπιστύφοντας εἶπεν·

---

36 ἐκ πάθους?

ὄμφακες (δ᾽) ἡνίκα χεῖλος ἐπιστύφουσι ποθεῖσαι.

κελεύει οὖν ἐν γλεύκει βρέχειν ἀψίνθιον καὶ οὕτω διδόναι πίνειν, προστάττει δὲ καὶ ῥητίνην τερεβινθίνην ἢ πευκίνην λαβεῖν, ἢ πίτυος δάκρυον μετὰ γλεύκους, καὶ τὰ ἑξῆς.

299. Νεοτρίπτῳ δ᾽ ἤγουν νεωστὶ τριβέντι, οἷον θλιβέντι, πατηθέντι, τουτέστι μετὰ γλεύκους τὸν τοῦ ἀψινθίου ζωμόν.

301. Γοερῆς, ὅτι πολὺ στάζει δάκρυον, ἢ ὅτι ἐν αὐτῇ ἀπεδερματίσθη Μαρσύας· μυθεύεται γάρ, ὡς, ἐπειδὴ Μαρσύας δεθεὶς ἐκ πίτυος ἐξεδάρη ὑπὸ τοῦ Ἀπόλλωνος, ἡ πίτυς συμπαθὴς ἐπ᾽ αὐτῷ γινομένη θρηνώδης ὑπάρχει. Τμῆξαι δ᾽ ἀντὶ τοῦ κόψαι ἢ ξέσαι· ἢ μίξαι· ἢ τῆς πίτυός φησιν ἐγγὺς τοῦ Μαρσύου τὸν φλόα ὁ Φοῖβος ἀπεδύσατο ἐκ τῶν μελῶν, τουτέστιν ὅπου αὐτὸν ἔξεσεν· εἰς πίτυν γὰρ αὐτὸν ἔξεσε καὶ ἐξέδειρε κρεμάσας, αὕτη δ᾽ ἡ πίτυς τὸν μόρον τοῦ Μαρσύου τὸν πολύπυστον ἐπαιάζουσα κατ᾽ ἄγκη, καὶ τὰ ἑξῆς.

305. Κόρεσον αὐτὸν τοῦ ἄνθους τοῦ μυοκτόνου πολίου. ἰδίως δὲ μυοκτόνον εἴρηκεν· οὕτω γὰρ οὔτε κέκληκέ τις, οὔτε μύας ἀναιρεῖ· κελεύει οὖν λαβεῖν πολίου ἄνθος καὶ πηγάνου βλάστας καὶ νάρδον καὶ κάστορος ὄρχιν.

307. Λιμναῖον δ᾽ ἔφη, ἐπειδὴ ἐν τοῖς ποταμοῖς καὶ ταῖς λίμναις διαιτᾶται καθάπερ καὶ ὁ ἱπποπόταμος, δοκεῖ δ᾽ ὁ ὄρχις τούτου ὅμοιος εἶναι τῷ τοῦ κάστορος· οὗτος δ᾽ ὁ κάστωρ, ὥς φασι, διωκόμενος κόψας τοὺς ὄρχεις ῥίπτει, εἰδὼς, ὅτι δι᾽ αὐτοὺς διώκεται.

308. Ἢ ὀδελὸν σιλφίου τῷ χαρακτηρικῷ κνηστῆρι, ἤγουν χαρακτῷ κατάτριψον, οἷον ξέσον, κόψον κνηστῆρι χαρακτῷ, μαχαίρᾳ φησὶ, σιλφίου τῆς ῥίζης τοῦ ὀποῦ ὀβολοὺς δύο καὶ τραγορίγανον, ἢ γάλα προσφάτως ἠμελγμένον· τραγορίγανον δ᾽ ἐστὶν ὄρειον, ὅπερ ἐσθίοντες οἱ τράγοι γίνονται κατωφερεῖς· διὸ οὕτως εἴρηται· αὐτὴ ἡ ῥίζα λέγεται σίλφιον, ὁ δὲ ταύτης ὀπὸς Κυρηναϊκὸς καλεῖται ὀπός.

310. Ἢ τοῦ γάλακτος τοῦ νεωστὶ πηγνυμένου ἐν τῇ νεαμέλκτῳ πέλλῃ κορεσθείη, τουτέστι τοῦ νεωστὶ τυροῦ πήξαντος.

312. Τὸ ταύρειον αἷμά φησι Πραξαγόρας πινόμενον πήγνυσθαι ἐν τῷ στήθει καὶ θρομβοῦσθαι, ἔπειτα, συνεχομένων τῶν πνοῶν, θνήσκειν ποιεῖ, οὐ λανθάνει δὲ πινόμενον, ὥσπερ καὶ τὰ ἄλλα δηλητήρια πολλάκις ἀγνοοῦνται· ἔστι γὰρ εὐτονώτερον τοῦ τῶν ἄλλων ζώωναῖματος, ὡς Ἀριστοτέλης (H. A., III 19 et P. A. II, 4 T. I, p. 520 b, et 651 a)· διὸ καὶ ἀφρόνως εἶπεν· τινὲς ἀποκαρτεροῦντες πίνουσιν αὐτὸ καὶ τελευτῶσιν.

314. Εἶαρ δὲ τὸ αἷμα παρὰ τὸ ἐν ἔαρι πλημμύρειν καὶ πλεονάζειν.

315. Θρομβοῦται δ᾽ ἀντὶ τοῦ πήγνυται τὸ ταύρειον αἷμα ποθὲν καὶ ἐμφράσσει τοὺς πόρους τῆς ἀναπνοῆς, καὶ οὕτως ἀπόλλυται ὁ πίνων.

316. Οἱ πόροι τῶν πινόντων φράσσονται, τὸ πνεῦμα θλίβεται ἐντὸς, οἱονεὶ σφίγγεται, τοῦ αὐχένος ἐμπλασθέντος, οἱονεὶ ἐμφραχθέντος καὶ ἀποκλεισθέντος.

318. *Μεμορυγμένος, τουτέστι μεμολυσμένος τῷ ἀφρῷ, περιφραστικῶς δ' ἀφρίζων.*

319. *Ἀποκραδίσειας, ἀπὸ τῆς κράδης κόψειας, οἷον ἀποσυκίσειας, τουτέστι λάβοις. Ἐρινοὺς δὲ τοὺς κλάδους τῆς συκῆς· ἐρινεὸς γὰρ ἡ συκῆ παρὰ τὸ ἐρίζειν παντὶ φυτῷ, ἐστὶ δ' ἐρινεὸς ἡ ἀγρία συκῆ. Ἄλλως· ἀφέλοιο τοὺς τῆς ἀγρίας συκῆς ὀλύνθους· οὗτοι γὰρ μηδέπω ὄντες πέπειροι ἔχουσιν ὀπόν.*

320. *Τὸ δ' ἀθρόον· ἀθρόον καὶ πολὺ ὄξος μίξας ὕδατι συγκέρασον καὶ δὸς πιεῖν, τὸ δ' ὄξος φησὶν, ἤτοι εἰς ὃ ἀπεβράχησαν οἱ ὄλυνθοι τῆς ἀγρίας συκῆς, ἢ ἁπλῶς δι' ἑτέρου βοηθήματος· εἰ δὲ τὸ πρότερον, τὸ ἐμπίσαιο ἀντὶ τοῦ βρέξον.*

322. *Ἐκφλοίοιο, ἐκσύρειας, ἐκθλίψειας, κλύσον φησὶ τὴν γαστέρα· ἢ καὶ τοῦ τῆς συκῆς φλοιοῦ. Καταχθέος κατάγοντος τὰ περιττώματα τῆς γαστρός· ἢ πολυαχθέος, τῆς πολὺ ἄχθος ἐχούσης, δηλονότι περιττωμάτων. Καταχθέος τῆς πληθυνούσης κατὰ τοῦ κατάγοντος καταχθέα ῥύματα γαστρός.*

323. *Πυετίαν φησὶ λαβὼν ἢ προκὸς, ὅ ἐστι δορκάδος, ἢ ἐρίφου ἢ νεβροῦ ἢ λαγωοῦ κόψον καὶ ἤθησον ἐν ῥάκει λεπτῷ, καὶ τρεῖς νίτρων ὀβολοὺς τρίψας καὶ μίξας ἐν οἴνῳ δίδου πιεῖν. Πολυωπέι δ' ἤτοι πολυωπῷ κόλπῳ τῆς ὀθόνης.*

328. *Ἐνὶ δεύκεϊ Βάκχου· καὶ γὰρ τὸ ἐνὶ δεύκεϊ ἡδὺ, ἡδέως· ἰδίως δεύκεα λέγει τὸν ἡδὺν, ἢ μᾶλλον τὸν παλαιὸν ὡς πικρίζοντα.*

329. *Σιλφιόεσσαν δὲ λίτρην ἀντὶ τοῦ ἴσην μοῖραν λαμβάνειν σιλφίου καὶ ὀποῦ καὶ σπέρμα κράμβης μετ' ὄξους. Ἄλλως· καὶ σιλφίου φησὶ καὶ ὀποῦ Κυρηναϊκοῦ καὶ σπέρμα Κράμβης τῶν τριῶν ὁμοῦ λίτραν μεμοιραμένην.*

332. *Κατασμώξαιο· κατάτριψον τὰ ἁπαλὰ τοῦ βάτου· τούτῳ τὴν πῆξιν τοῦ ταυρείου αἵματος ῥᾳδίως σκεδάσειας, ἤτοι ἑστῶσαν ἐν τῇ γαστρὶ διαθρύψειας.*

335. *Βούπρηστις ζῶόν ἐστι χερσαῖον, ὠνόμασται δ' ἀπὸ τοῦ ἐμπιπράναι τοὺς βόας, ἐπειδὰν δηχθῶσιν, ἢ αὐτὸ μόνον περιχάνωσιν. Φησὶν Ἀριστοτέλης ἐν τῷ περὶ ζώων (H. A. VIII. 22 t. I. p. 604 b) ὅτι, ἐὰν καὶ ἵππος περιχάνῃ τὸν λεγόμενον σταφυλῖνον, ἐστὶ δὲ ζῶον ὅμοιον σφονδύλῃ, διαφθείρεται. Ἄλλοι δέ φασι ζῶον εἶναι ὅμοιον καν-θαρίδι. Μὴ λάθῃ σε ἡ ἀλγηδόνα παρέχουσα πόσις τῆς βουπρήστιδος, πεύσῃ δὲ καὶ γνώσῃ δαμαζόμενον τὸν πιόντα ἄνδρα. Βούπρηστις δὲ ζῷόν ἐστι παραπλήσιον φαλαγγίῳ, ὃ διατίθησι τοὺς βόας κακῶς· τοῖς οὖν πίνουσί φησι τὴν βούπρηστιν ὀδύνη παρακολουθεῖ.*

337. *Ἡ βούπρηστις ἐγχρωτάζουσα εἰς τὰ χαλινὰ λίτρῳ ὁμοίαν ἔχει τὴν γεῦσιν. Νίτρῳ τὴν χροιὰν παραπλησίαν γίνεσθαί φησι κατὰ τοὺς χαλινοὺς τῶν πινόντων, εἰ μὴ ἄρα νιτρώδεις φησὶν αὐτοὺς ἔχειν προφορὰς κατὰ τὴν ἀντίληψιν, περὶ δὲ τὴν κοιλίαν πόνοι καὶ οὖρων περικράτησις, καὶ ἡ κύστις ῥοχθεῖ, ὅ ἐστι ψοφεῖ, τοῖς δ' ὑδρωπικοῖς παραπλησίως ὀγκοῦται, τοῦ δέρματος αὐτῶν παράτασιν λαμβάνοντος,*

---

44 ὀγκοῦνται?

ὡς καὶ τῶν βοῶν, ὅταν φάγωσι τὰ καυλεῖα, τουτέστι τὰς βοτάνας, ἐν αἷς τὰ θηρία.

339. Ὑπερβατόν· ἐν τοῖς στόμασι τῆς γαστρὸς τὰ ἄλγη περιπολεύοντα ὄρωρεν.

341. Διαπίμπραται, φυσᾶται, ὡς ὑφ' ὕδρωπος· τρία δὲ γένη ὑδρώπων, ὧν ὁ εἰς τυμπανόεις λέγεται.

342. Ἀφυσγετὸς δὲ καλεῖται κυρίως μὲν ὁ ἐκ τῶν ποταμῶν γινόμενος συρφετὸς, ἤτοι ἡ ἀθροιζομένη χορτώδης ὕλη, νῦν δ' εἴρηκε διὰ τὸ πᾶσαν ἀκαθαρσίαν τοῦ σώματος εἰς τὴν γαστέρα συνερρυηκέναι.

345. Ὁππότε θῆρα· τουτέστιν οτε δατέονται καὶ μερίζονται τὸν τῶν θηρῶν τόπον βοσκόμενοι. (Ἀντὶ τοῦ εἰπεῖν ἐνταῦθα τὸν ἐξηγητὴν· δατέονται καὶ μερίζονται τὸν θῆρα, ἤτοι μᾶλλον κατατρώγουσι, τὰ γὰρ μασώμενα καὶ κατατρωγόμενα μερίζονται, ἔφη κακῶς· αἱ δαμάλεις καὶ οἱ μόσχοι νομαζόμενοι καὶ βοσκόμενοι τὸν τόπον τῶν θηρῶν) Ἄλλως· γράφεται πίμπραται ἐσχατιῇσιν ὅταν καυλεῖα φάγωσιν· ὅταν φησὶν ἐν ταῖς ἐσχατιαῖς περὶ τὰ πρόποδα τῶν ὀρῶν τὰ καυλεῖα αὐτῆς, τουτέστι τῆς βουπρήστιδος, φάγωσιν.

347. Τῷ καὶ εὐκραδὲς· διχῶς ἡ γραφὴ καὶ ἡ ἐξήγησις· μία μὲν οὕτως· τῷ καὶ εὐκραδὲς τριπετῆ ἐν νέκταρι μίξαις, καὶ τὰ ἑξῆς, ἵνα συνταχθῇ οὕτως· διὰ τοῦτο καὶ τῆς καλῆς κράδης τὴν τριπετῆ τῶν σύκων πόσιν τὴν ἱκανῶς ξηρανθεῖσαν καὶ ὀμφαλόεσσαν ἐν νέκταρι μίξαις· τριπετῆ οὖν, οἱονεὶ τριπέτηλον, τὴν ἐκ σύκων σχιζομένων εἰς τρία πέτηλα· τὰ γὰρ σῦκα ξηραινόμενα εἰς τρία σχίζονται· ἢ ὅτι τὰ φύλλα τῆς συκῆς εἰς τρία ἔσχισται. Ὀμφαλόεσσαν δ' ἢ τὴν τῷ ὀμφαλῷ προσιζάνουσαν, ἢ τὴν ἐκ σύκων τῶν ὀμφαλοὺς ἐχόντων· τὰ γὰρ σῦκα κάτω τρύπας ἔχουσι δίκην ὀμφαλοῦ, δι' ὧν τρυπῶν ὁ ὀπὸς αὐτῶν ῥεῖ. Γράφεται καὶ τριετεῖ ἐν νέκταρι, ἵν' ᾖ· τῆς καλῆς κράδης τὴν ἐκ τῶν σύκων αὐανθεῖσαν ἅλις πόσιν τὴν ὀμφαλόεσσαν ἐν τριετεῖ νέκταρι μίξαις. Ἄλλως· αὐανθεῖσαν τὴν ἀπὸ ξηρῶν σύκων, τριπετῆ δὲ τρίσχιστον, ὅτι τὰ φύλλα τῆς συκῆς εἰς τρία ἔσχισται. Τοῖς δὲ γράφεται καὶ εὐκραδέος· κελεύει οὖν ξηρὰ σῦκα μετ' οἴνου ἑψήσαντα διδόναι πιεῖν. Ἢ ὀμφαλόεσσαν τὴν τροφόεσσαν παρὰ τὸν ὀμφαλόν· βρῶσις γὰρ ὀμφαλὸς, ἐπεὶ δι' αὐτοῦ τὰ ἔμβρυα πάντα τὴν τροφὴν δέχεται καὶ ἀναπνεῖ, τοῦ στόματος μεμυκότος διὰ τὸ πλῆθος τῶν ὑγρῶν, ἵνα μὴ ἀπόληται.

351. Μελιζώροιο. Ἀμφίβολον, πότερον τὸ τῶν σύκων πόμα μελίζωρον εἴρηκεν, ἢ ἕτερον ἐκ τῆς μελιζώρου βοτάνης.

352. Τὸ δὲ γλάγος εἰν ἐνὶ χεύαις, ἀγγείῳ δηλονότι.

353. Ψαφαρὸν, αὐχμηρὸν, ξηροὺς δὲ φοίνικας κελεύει εἰς τὸ γάλα μιγνύναι· μίξον δέ φησι τὸ γάλα τοῖς ξηροῖς φοινιξιν.

354. Ἄλλοτε δ' αναλέης· ἀπὸ κοινοῦ τὸ καταμίσγεο καρπόν· ἀχρὰς δὲ καὶ βάκχη καὶ μυρτίνη εἶδος ἀπίων, ἔστι δὲ καὶ εἶδος ἐλαίας μυρτίνη καλουμένη.

356. Θηλάζειν φησὶ τὸν πάσχοντα ποτὲ μὲν γυναῖκα, ποτὲ δὲ βοῦν. Ἄτε δὴ βρέφος· ὡς οἷα βρέφος ἀρτιγενὲς, οὕτως ἐμπελάσοι τῷ

---

30 γράφεται καὶ τοῖς δὲ καὶ?

δεσμῷ ἤγουν τῷ μαστῷ. Μοσχηδὸν δὲ δίκην μόσχου, δι' οὗ σημαίνει τὸ ἁπαλὸν καὶ τρυφερόν· μόσχευμα γὰρ πᾶν τὸ ἁπαλόν. Ὅμηρος (Il. λ, 105).

μόσχοισι λύγοισιν.

358. Οἵη τ' ἐξ ὑμένων βράσσει ἡ νεαλὴς, ὅ ἐστιν ἡ νεαρὰ μόσχος τὰ οὔθατα ἀνακρούουσα ἐκ τῶν ὑμένων ταράσσει τὴν μενεοικέα χύσιν τῆς θηλῆς, καὶ τὰ ἑξῆς.

360. Ἔλαιόν φησι θερμὸν λαβὼν βιάζου ἐμεῖν, ἐντιθεὶς τὰς χεῖρας ἢ πτερὸν ἢ ἀπὸ τῶν παπύρων τὸν πρὸς ἔμετον ἐπιτήδειον, τῶν κακῶν φησι τοῦ φάρυγγος ἑλκυστῆρα Ἀνακεφαλαίωσις τῆς θεραπείας τῆς βουπρήστιδος· ἀπὸ συκῆς ξηρῶν σύκων τετριμμένων μετ' οἴνου πόσις, ἢ μελιζώρου ἱκανὴ πόσις, ἢ γάλακτος καὶ φοινίκων καρποῦ μεμιγμένη πόσις, ἢ ψυκτῆς ἀχράδος ἢ ἄλλων ἀπίων μετ' οἴνου, ἢ ἵνα θηλάζῃ μαστὸν γυναικὸς ὡς παιδίον, ἢ θερμοῦ ἐλαίου εἰς κόρον πόσις, δεῖ δ' ἐφ' ἑκάστῃ πόσει τοὺς δακτύλους χαλᾶν, ἢ πάπυρον, ἢ πτερὰ ἐμβάλλειν εἰς τὸ στόμα καὶ ἀναγκάζειν ἐμεῖν, ὅπως τάχιστα τῆς νόσου ἀπαλλαγῇ.

364. Ἐὰν δὲ θρομβωθῇ, τουτέστι τυρωθῇ τὸ νεαλὲς γάλα, ἤγουν τὸ νεωστὶ ποθὲν, πνιγμὸς ἐπακολουθεῖ εἰς ἓν ἀθροιζομένου τοῦ πόματος ἤγουν τοῦ γάλακτος.

366. Τρισσὰς δὲ πόσιας ἀντὶ τοῦ τρεῖς μοίρας, μέσας μὲν ὄξεος, δοιὰς δὲ γλυκέος τουτέστι τὰς δύο μοίρας γλυκέος καὶ τὴν μέσην τούτων, τουτέστι τὴν μίαν ὄξους.

368. Ἀλλὰ καὶ τοῦ ἐκ τῆς Λιβύης σιλφίου τὰς ῥίζας. Ποτῷ ἐγκνήθεο, τουτέστιν ἔντριβε.

369. Ὀποῦ· τοῦ Κυρηναϊκοῦ λέγει. Ἰστέον, ὅτι οὗτος ὁ ὀπὸς συνεστηκώς ἐστι καὶ πεπηγώς, ὥσπερ τὸ κομμίδιον ἢ ὁ λίβανος ἢ ἡ μαστίχη ἢ εἴ τι τοιοῦτον· διὰ τοῦτο οὖν εἶπε τήξας, οἱονεὶ ἀναλύσας. Ἐνὶ βάμματι ἀντὶ τοῦ ἐν ὄξει διαλύσας· ὁ γὰρ Κυρηναϊκὸς ὀπὸς διαλύει τὴν φαρμακείαν· καὶ γὰρ ἐὰν πεπηγότι γάλακτι ἐπιχέῃ αὐτόν τις, διαλυθήσεται· ἔστι δὲ καὶ τὸ νίτρον διαλυτικὸν τοῦ γάλακτος.

370. Κονίλην, ἤτοι κονίαν, ἢ θύμου καρπὸν, ἢ τῆς εὐκνήμου βότρυν, ὅπερ κόριον καλοῦσι, μετ' οἴνου.

371. Ἄλλοτ' ἀμύνει· ἄλλοτε δ' ἀμύνει καὶ βότρυς εὐκνήμου, ὡσανεὶ τῆς καλὰς κνήμας ἐχούσης ἀμπέλου, κνήμας δὲ τὰ μεταξὺ τῶν κονδύλων ἢ τῶν κάμψεων λέγει, τοῦ βότρυος βρεχθέντος ἐν οἴνῳ· ἢ εὔκνημος εἶδος βοτάνης.

373. Τοῦτο ἄξιον θαύματος, πῶς διαχεῖ ἡ πυτία τὸ συνεστηκὸς ἐν τῇ κοιλίᾳ γάλα, ἀλλ' οὖν ἄλλο ἐπισυνίστησιν.

374. Καὶ τὸ μελισσόφυλλον δέ φησιν δίδου σὺν ὄξει· ἢ μελίσσης ποτὸν ἔφη τὸ μέλι.

375. Στυφόεν δὲ ποτὸν τὴν ἡδύοσμον ἔφη κατ' εὐφημισμόν. Μίνθη Ἄιδου παλλακὴ οὕτω καλουμένη, ἣν διεσπάραξεν ἡ Περσεφόνη, ἐφ' ᾗ τὴν ὁμώνυμον πόαν ἀνέδωκεν ὁ Ἄιδης.

---

1 θηλασμῷ ἤγουν? 9 ὃν τῶν κακῶν?

376. Τὸ δορύκνιον, ὃ καὶ μελισσόφυλλον καλεῖται, ἀγρία βοτάνη ἐστίν· αὕτη κοπτομένη ὀπὸν ἀποστάζει ὅμοιον γάλακτι τὴν θέαν καὶ τὴν γεῦσιν καὶ τὴν ὀσμήν, ὅθεν καὶ δυσδιάκριτόν ἐστι τῷ πίνοντι, πότερον γάλα ἐστὶν, ἢ οὔ. Δημοφῶν δ' ἐτυμολογῶν φησιν οὕτω κεκλῆσθαι διὰ τὸ δόρατι αὐτὸν ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν, Λυσίμαχος δ' ὁ Ἱπποκράτειος διὰ τὸ ξύλον εἶναι κνίφης παρασκευαστικὸν τοῖς προσενεγκαμένοις.

377. Ὠπὴ δ' ἡ πρόσοψις, ἡ θέα, τὸ εἶδος. Καὶ ἡ βρῶσις περὶ τοῖς στόμασιν ἀπεικάζεται γάλακτι.

378. Λυγμοὶ δ' αἱ τοῦ πνεύματος ἀναγωγαί.

382. Τηνεσμῷ τῇ διατάσει· διαφέρει τηνεσμὸς καὶ δυσεντέριον, σύνεγγυς μέντοι αλλήλων· καὶ γὰρ ἔστι πάθος, ὃ καλεῖται χορδαψὸς, τηνεσμὸς δ' ἐστὶν, ὃν νῦν λέγομεν βιασμόν. Ἄλλως· τοῖς τηνεσμώδεσι παρακολουθεῖ δυσεντερία, εἶτα ὁ χορδαψὸς, ὃν δή φασι συναμματιζομένου τοῦ ἐντέρου, ὁτὲ προηγεῖται τηνεσμὸς, ὁτὲ δυσεντερία, τηνεσμῷ περὶ τὸ δυσεντέριον τάσις.

387. Καὶ τῆς ὄρνιθος τηκομένη ἡ σὰρξ τῶν εὐτραφῶν στηθῶν ἤμυνε βρωθεῖσα· τὸ στῆθος τῆς λιπαρᾶς φησιν ὄρνιθος βρωθὲν ὠφελεῖ· θωρήκων οὖν τῶν στηθίων σαρκῶν.

389. Χυλὸς ἅλις, ἤτοι τοῦ στήθους τῆς ὄρνιθος ὁ χυλὸς, ἢ ἕτερον βοήθημα λέγει, χυλὸν πτισάνης, ἄμεινον δὲ τὸ πρότερον.

390. Καὶ ὅσα κατὰ τοὺς φυκιόεντας ἀγμοὺς, ὅ ἐστιν αἰγιαλοὺς, περιβόσκεται κνώδαλα, κωβιοὶ καὶ τὰ τοιαῦτα.

393. Κάλχης· εἶδος πορφύρας, ἀφ' ἧς αἱ γυναῖκες κάλχιον βάπτουσιν· καλχαίνειν γὰρ τὸ πορφύρειν. Τὸν δὲ στρόμβον, ὃν ἔλεγον οἱ ἀρχαῖοι ὄστρακον, τῶν κογχυλίων, οἷς καὶ ἐχρῶντο ἀντὶ σάλπιγγος· καὶ Ἀπολλόδωρος ἐν τοῖς Ὁμήρου οὕτως εἶπεν (Il. ξ 413)·

Στρόμβον δ' ὣς ἔσσευεν.

394. Αἰθηέντος δ' ἐρυθροῦ καὶ πυρροῦ κατὰ τὴν σάρκα.

396. Τήθη τε· τὰς ἀγρίας λεπάδας, ἃς ἡμεῖς ὠτία λέγομεν, ὁ δ' Ἀριστοτέλης ὄστρεια, καὶ Ὅμηρος (Il. π 747) κοινῶς τὰ ὄστρεια. Τὸ δὲ δὴν ἔσεται, ἤτοι πολὺ ἀπέσται ἀντὶ τοῦ ἐκτὸς ἔσται. Καὶ τὸ γεραιόμενον αὐξανόμενον ἐν τοῖς βρύοις, ἢ νηχόμενον, ἢ ἀγρευόμενον, ἢ κοσμούμενον.

398. Τὸ Φαρικὸν ὁμοίως τῶν θανασίμων ἐστὶν, ἱστορεῖ δὲ Πραξαγόρας κληθῆναι αὐτὸ ἀπὸ Φαρικοῦ τινος Κρητὸς, τοῦ ἐξευρόντος αὐτό. Ἄλλως· τοῦτό φησιν ἐν Φάροις τῆς Ἀρκαδίας εὑρεθῆναι, καλεῖται δὲ καὶ Μηδικόν· τινὲς δέ φασιν αὐτὸ πρῶτον ἐν Θεσσαλίᾳ εὑρεθῆναι ἐν Φέραις, ἄλλοι δ' ἐν Λακεδαίμονι. Φᾶρις γοῦν ἐστι τῆς Λακωνικῆς·

Φᾶρίν τε Σπάρτην τε (Il. β 582).

Τοῦτο δὲ τὸ ποτὸν τῇ μὲν γεύσει ἐστὶν ὅμοιον νάρδῳ, τοῦ δὲ πεπωκότος τὰς μὲν σιαγόνας ἐνέπλησε, τοῖς δὲ τοῦ σώματος πᾶσι μέλεσι τρόμον ἐπήνεγκε καὶ παραφροσύνην ἐν τοῖς τῆς ψυχῆς νοήμασιν ἐνέθηκεν.

---

6 κνήφην?

399. *Γευθμῷ· τῇ γεύσει. Ἰσαιομένην· ὁμοίαν.*

400. *Ηνυσε δὲ σφαλερούς· ἐποίησε τρομερούς καὶ παράφρονας, καὶ ἐν μιᾷ ἡμέρᾳ πολλάκις πρὸς θάνατον ἤγαγεν· μονήρει γὰρ ἀκτῖνι ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ ἀναιρεῖ τὸν ἄνδρα τὸν βαρύν, ἤτοι γενναῖον, ἰδίως δὲ μονήρει εἶπεν.*

402. *Σταδίην δὲ σταθμῷ, ἢ ἀντὶ τοῦ σταθμηθεῖσαν, οὐκ εἶπε δὲ πόσον.*

403. *Καὶ θυλακόεσσαν τὴν ἐμφερῆ θυλάκῳ, σχηματίσας δ' εἶπεν ἀπὸ τῆς ῥίζης· τοιαύτη γὰρ ἡ τῆς νάρδου ῥίζα, θυλακώδης τῷ εἴδει· διὸ καὶ παρά τινων θυλάκιον τῆς νάρδου ὀνομάζεται.*

404. *Αἱ ἐξοχαὶ αὐξάνουσι Κέστρου, ποταμοῦ Παμφυλίας ἢ Κιλικίας.*

405. *Τὸ σμυρνεῖον παραπλήσιόν ἐστι νάρθηκι, τὸ δὲ σπέρμα πράσου ἔχει, ὀσμὴν δὲ σμύρνης. Αἴνυσο· λάβε.*

406. *Τὸ δ' ἴριδα ὤφειλεν ἶριν, ὥσπερ ἔριν· εἴη δ' ὀξυτόνως ἰρὶς, ὥσπερ βολίς· ἢ ὡς Κύπριδα. Λειριόεν κάρη· τὸ τοῦ κρίνου ἄνθημα. Ἀφρὼ ἡ Ἀφροδίτη ἢ ἀφρογενὴς ὑποκοριστικῶς.*

407. *Θρίοις· φύλλοις.*

408. *Ὀνειδείην· αἰσχύνην.*

409. *Βρωμήεντος· τοῦ ὄνου. Ἐναλδήσασα· ἐναυξήσασα. Κορύνην· τὸ αἰδοῖον τοῦ ὄνου. Λειριόεν κάρη· τὴν κεφαλὴν τοῦ λειρίου, λείριον δέ φασι τὸ κρίνον· τούτῳ δὲ λέγεται τὴν Ἀφροδίτην ἐρίσαι περὶ εὐχροίας, τὴν δ' ὀργισθεῖσαν ὅμοιον αἰδοίῳ ποιῆσαι ὄνου.*

410. *Σκύλαιο· ξύρησον. Ἐπεσίνατο· ἔβλαψεν. Περὶ κόρσεα πλάσσοις· ἐπίπλασσε τὴν κεφαλήν. Σκύλαιο κάρη· κελεύει ξυρᾶν τὴν κεφαλὴν αὐτοῦ καὶ καταπλάττειν πηγάνῳ καὶ ἀλεύρῳ κριθίνῳ καὶ ποτίζειν νάρδῳ ὡς πλεῖστον, καὶ ὄξους ἐσκευασμένου· βλάπτεσθαι δέ φησι τὸ πήγανον ὑπὸ τῆς κάμπης. Ἄλλως· ξύρισόν φησι τὴν κεφαλὴν καὶ κατάπλασον ὠμῇ λύσει μετὰ πηγάνου· τὸ δὲ πήγανον παρὰ τὸ πήγνυσθαι τὴν γονήν· ἔστι γὰρ καὶ ἐπισχετικὸν τῆς συνουσίας, διὸ καὶ οἱ μυούμενοι αὐτῷ χρῶνται· ἢ διὰ τὸ ἐν πάγοις φύεσθαι τὸ πήγανον. Ἄλλως· Σκύλαιό φησι τὴν κεφαλὴν τοῦ πηγάνου, καὶ ἔπαρον αὐτοῦ τὴν λάχνην, ἤγουν τὸ ἄνθος, κόψας αὐτὸ κάτωθεν εὐήκει ξυρῷ, ὅ ἐστιν εὐακονήτῳ, καὶ ἕψησον ἄλευρα κριθῶν νεάλεστα καὶ φυλλάδα πηγάνου ἐν ὄξει, καὶ ποίησον τροχίσκους, καὶ περὶ τὴν κεφαλὴν τοῦ πάσχοντος κατάπλασσε.*

415. *Μηδεὶς ἀπείρως ἔχων τοῦ ὑοσκυάμου τὴν νηδὺν κορέσκοι, οἷα ποιοῦσιν οἱ σφαλλόμενοι τοῖς φρεσίν· ἰδίως δ' εἴρηκε τὸ ἀιδρήεντα ἀντὶ τοῦ ἀιδρηέντως· λέγει οὖν, ὅτι ἐάν τις ἀπείρως προσενέγκῃ τὸν ὑοσκύαμον περὶ τὰ ἁπαλὰ λάχανα σὺν τοῖς σπέρμασιν ἁπαλοῖς οὖσιν, ἢ καὶ ὅταν τὰ παιδία προσενέγκηται, ποίει παραφυλάττεσθαι.*

416. *Παρασφαλέες δὲ σπέρχονται ἀντὶ τοῦ οἱ ἐσφαλμένοι τρέχουσι καὶ σπεύδουσιν.*

418. *Κοῦροι· ὅπερ οἱ παῖδες οἱ ἄρτι ἐπισύρεσθαι παυσάμενοι καὶ τὰς τροφὰς ἀπαρνησάμενοι ποιοῦσιν ἀγνοίᾳ, καὶ ἐμβάλλοντες εἰς τὰ χαλινὰ αὐτῶν, ὅπερ ἂν αὐτοῖς ὑποπέσηται ἢ εὕρωσιν.*

417. Ἠὲ νέον σπείρημα· λέγει τὸ ἄκρον τῆς κόμης, ὅ ἐστιν ἁπαλὸν, ὃ δὴ πολλάκις συμβαίνει τοῖς ἤδη δυναμένοις παισὶ χωρὶς τῶν τιθηνῶν πορεύεσθαι καὶ ἐσθίειν. Ἄλλως· νέον σπείρημα· οἱ ἔτι τὰς τρίχας ἀπὸ τῆς σπορᾶς φθεροῦντες· σπείρημα γὰρ τὸ σπέρμα. Ἀμφικάρηνα κομάων, ἤγουν τὰ περὶ τὴν κεφαλὴν τῶν κομῶν. Γράφεται δὲ τὸ σπέρχονται καὶ τεύχονται ἀντὶ τοῦ ποιοῦσιν, ὁ δὲ νοῦς τοιοῦτος· τὰ παιδία τὰ νεωστὶ ἐκφυγόντα τὸ ἐπὶ γαστέρα σύρεσθαι καὶ τετραποδίζειν καὶ ἀπειπάμενα τῶν τριχῶν τὸ ἀμφικάρηνον, τουτέστι τὰ νεωστὶ κουρευθέντα καὶ ἀρξάμενα περιπατεῖν ἄνευ τῆς τροφοῦ, λέγει δὲ τὰ ὄντα περὶ τὰ τέσσαρα ἔτη καὶ τὰ πέντε· ταῦτα γὰρ ἐπιτυγχάνοντα τῷ ὑοσκυάμῳ ἐσθίουσιν αὐτὸν καὶ βλάπτονται· ὀλοὴν γὰρ ἕρπυδόνα τὸν τετραποδισμὸν καὶ τὸν συρμόν. Ἄνις δ' ἀντὶ τοῦ ἄνευ.

420. Τῇ ἀφροσύνῃ τρώγωσι τοὺς κακανθήσαντας κλάδους.

421. Οἷα γὰρ οἱ νεωστὶ ἐν τοῖς γναθμοῖς τοὺς βρωτῆρας ὀδόντας ὑποφαίνοντες, τοιοῦτός φησι κνηθμὸς ἐν τοῖς φαγοῦσιν ὑοσκύαμον, οἷος ἐν τοῖς παισὶν, ὅταν ἀποβάλλωσι τοὺς ὀδόντας.

424. Βουκέρασος· εἶδος βοτάνης, τοῦτο δὲ καμπύλον ἐστὶ καθάπερ βοὸς κέρας· διὸ καὶ τῆς ὀνομασίας ταύτης ἔτυχεν. Καὶ σιτηγόνου τοῦ εἰς σιτισμὸν καὶ τροφὴν γινομένου· γράφεται καὶ χιλογόνου. Ὄρρα κεραίας· ὅπερ βούκερας κεραίας τινὰς εὐκαμπεῖς κάτωθεν ὑπὸ τοῖς ὑπηνεμίοις φύλλοις αὔξει. Ἄλλως· σιτηγόνου· γράφεται καὶ κεβληγόνου, τοῦ ἐν τῇ κεφαλῇ ἔχοντος τὸν γόνον· κέβλη γὰρ ἡ κεφαλὴ ἐν συγκοπῇ τοῦ α καὶ τροπῇ τοῦ φ εἰς β.

426. Ἀτμενίῳ δὲ τῷ ἐλαίῳ τῷ μετὰ κακοπαθείας γινομένῳ· ἀτμένες γὰρ οἱ δοῦλοι, οἷς ἕπεται τὸ κακοπαθεῖν· μέγα φησὶν ὄνειαρ ἐστι τὸ βούκερας, ὅταν ἐμπλεύσῃ καὶ βραχῇ τῷ ἀτμενίῳ ἐλαίῳ.

428. Τουτέστιν ὠμὰ τὰ φύλλα διαμασήσασθαι καὶ τὸν χυλὸν αὐτῶν καταπίνειν.

429. Κίχορα δὲ καὶ καρδαμίδας εἴδη λαχάνων καὶ γηθυλλίδας εἶδος κρομμύων, ἤτοι τὰς κεφαλὰς ἢ τὰς ῥίζας, ἢ τὰ ὑπ' ἐνίων λεγόμενα ἀγριόφυτα.

432. Καὶ εὔαγλις, καλὰς ἄγλιθας ἔχουσα· ἄγλιθες οἱ κόκκοι, ἐξ ὧν αἱ κεφαλαὶ τῶν σκορόδων σύγκεινται, ἅπερ σκελίδια ἡ συνήθειά φησιν, τὰ δὲ κίχορα οἱ Ἀττικοὶ κιχόριά φασιν, ἡμεῖς δὲ γογγύλια, γαθυλλὶς τὸ νέον κρόμμυον. Κίχορα ἡμεῖς μὲν γιγγικίδια, οἱ δ' Ἀττικοὶ κιχόρια.

433. Κεβληγόνου· τῆς ἐν τῇ κεφαλῇ τὸν γόνον ἐχούσης, ὅ ἐστι τὸ σπέρμα· συγγενὲς γὰρ τὸ β τῷ φ· καὶ Καλλίμαχος·

ἀμφί τε κέβλην
εἰργμένος ἀγλίθων οὖλον ἔχει στέφανον.

Τινὲς τῆς κατὰ τὴν κεφαλὴν κομώσης μήκωνος· βοτάνη γάρ ἐστιν ἡ μήκων, ἐν τῇ κεφαλῇ ἔχουσα τὸν γόνον· καὶ Εὐφορίων περὶ τῆς Ἀθηνᾶς·

κεβληγόνου Ἀτρυτώνης.

Μήκων δ' εἴρηται παρὰ τὸ μὴ κονεῖν, ὅ ἐστι μὴ ἐνεργεῖν· κονεῖν γὰρ λέγεται τὸ ἐνεργεῖν, κωλυτικὸν δὲ τοῦτο τῶν κατὰ φύσιν ἐνεργειῶν.

434. *Καθυπνέας· ὑπνοῦντας· ἄγει γὰρ τὸ μηκώνειον εἰς ὕπνον· ἐτυμολογοῦσι δὲ τὴν μήκωνα, ἤτοι τὴν μὴ ἀκονεῖν, ὡς εἴρηται, μηδ' ἐνεργεῖν ποιοῦσαν.*

435. *Ἀντὶ τοῦ οὐκ ἀνοίγονται οἱ ὀφθαλμοί.*

436. *Τὸ δὲ δέδηεν ἀντὶ τοῦ δέδεται, δεσμεῖται.*

437. *Ὀδμήεις δ' ὀζώδης, ὀδμὴν ἔχων τὴν ἀπὸ τοῦ ὀποῦ· φέρεται γὰρ ἱδρὼς ψυχομένου τοῦ σώματος.*

438. *Τὸ δὲ πρόσωπον ὠχρὸν γίνεται καὶ τὰ χείλη ἐμπίμπραται.*

439. *Παῦρον· ἐκ δὲ τοῦ αὐχένος ὀλίγον ἄσθμα ἑλκόμενον ψυχρὸν διέρχεται, καὶ πάρεσις τῶν σιαγόνων γίνεται, πολλάκις δὲ καὶ οἱ ὄνυχες πελιδνοὶ γινόμενοι, ὡς ἐντὸς τοῦ αἵματος χωροῦντος, καὶ ἡ ῥὶς στρεβλουμένη καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γινόμενοι θάνατον ἀπαγγέλλουσιν.*

443. *Μέλοιο δ' ἐπιμελοῦ τῆς θεραπείας καὶ βοηθείας, γλυκὺν θερμὸν οἶνον διδοὺς αὐτῷ.*

444. *Κεκαφηότα ἀντὶ τοῦ ὀλιγοψυχοῦντα πληροῖς.*

445. *Καὶ τινθαλέῳ θερμῷ, διαπύρῳ. Ἔργα μελίσσης ἀντὶ τοῦ σύμμισγε καὶ μέλι μετὰ θερμοῦ οἴνου.*

446. *Ὑμηττίδος δ' Ἀττικοῦ ἀφ' Ὑμηττοῦ τοῦ ὄρους Ἀττικῆς. Μόσχου· αἱ μέλισσαι, ὥς φησιν αὐτός* (Th. 741)·

ἵπποι μὲν σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν.

448. *Κατὰ δρυός· παλαιάν τινα μελιττουργίαν ἐκτίθεται· μήπω γὰρ ἡμερούμεναι αἱ μέλισσαι, ἀλλ' ἔτι ἄγριαι οὖσαι, ἐν τοῖς κοιλώμασι τῶν δρυῶν τὰ κηρία συνετίθεσαν, καὶ νῦν ἔτι ἔστιν ὅτε τοῦτο ποιοῦσιν. Τὸ δ' ἐκτίσαντο ἀντὶ τοῦ κατεσκεύασαν. Ἄλλως· τοῦτο καὶ Ἡσίοδος* (ἔργ. 233)·

ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας.

καὶ Φωκυλίδης (Ποι. νουθ. 159—162)·

κάμινει δ' ἠερόφοιτος ἀριστοπόνος τε μέλισσα
ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν,
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων,
σμήνεσι μυριότητα κατ' ἄγγεα κηροδομοῦσα.

449. *Φησὶ δ' ὅτι ἐν τῷ Ὑμηττῷ πρῶτον ἐγένοντο μέλισσαι. Συνομήρεες· συνερχόμεναι βοτρυδόν.*

450. *Πολυωπέας· πολλὰς ὀπὰς ἐχούσας· τοιαῦτα γὰρ τὰ κηρία. Ὄμπαι οἱ μέλιτι δεδευμένοι πυροί· καὶ Καλλίμαχος·*

ἐν δὲ θεοῖσιν ἐπὶ φλογὶ καιέμεν ὄμπνας.

τούτους γὰρ Δημητρὶ ἔθυον· Νίκανδρος δ' ἰδίως εἴρηκε τὰ κηρία ὄμπας.

451. *Ἀντὶ τοῦ διερχόμεναι τὰ θύμα τοῖς ποσίν. Τὸ δ' ἀνθεμόεσσαν γράφεται καὶ ἠνεμόεσσαν, ἐρείκη δ' ἐστὶ δένδρον, οὗ τὰ φύλλα οἱ μυούμενοι ὑποστρωννύουσι διὰ τὸ ψυκτικὰ εἶναι καὶ ἁγνά· ἔστι γὰρ τὸ ἁγνεύειν καὶ χωρὶς γονῆς μένειν.*

452. *Ἡ σύνταξις οὕτως· ἢ καὶ ἰρινέου μαλλὸν βαθὺν κορέσκων ἕλκοις ἀντὶ τοῦ ἕλκε τὸν ἰόν, ὀχλίζων διὰ τὸ κλείειν τὸ στόμα τῇ μύσει*

συνδεδεμένον τοῖς χαλινοῖς, διανοίγων αὐτὸ ἐνθλίβοις τῷ ἐρίῳ ῥόδινον ἢ καὶ ἴρινον ἔλαιον. Τότ' ἠμύουσιν ἀντὶ τοῦ ὅτ' ἠμύουσιν οἱ πάσχοντες, τοὺς συμμεμυκότας χαλινοὺς αὐτῶν ἐνθλίβοις τῷ ἐρίῳ βοηθείας χάριν.

455. Τοῦ κυπρίου ἐλαίου φησὶν, ὅ ἐστι θερμαντικόν. Καὶ μορόεντος ἀντὶ τοῦ μοροέσσης· καὶ Ὅμηρος (Od. σ 298)·

τρίγληνα μορόεντα.

456. Διὰ ῥέθος ἔγρεο· κατὰ τὸ πρόσωπον τύπτων καὶ πλήσσων ἔγειρε.

457. Παλάσσων ἀντὶ τοῦ κοιμώμενον κινῶν καὶ σείων ἀνάστησον, ὅπως κεφαλαλγῶν τὸν ὀλέθριον ὕπνον ἀποβάλλῃ, καὶ τὸν κακὸν πόνον ἐξεμέσῃ βοηθούμενος.

458. Κῶμα· τὴν μεταξὺ ὕπνου καὶ ἐγρηγόρσεως καταφορὰν κῶμα καλοῦσιν, ὅθεν καὶ κωμάζειν τὸ ἐπιφοιτᾶν τοῖς κοιμωμένοις.

459. Τὸ δὲ τῆμος ἐξερύγῃσιν ἀντὶ τοῦ τηνικαῦτα ἐξεμέσῃ ἀποσοβῶν τὸ κακὸν ἄλγος.

460. Ἀλλὰ καὶ σπεῖρα ἤγουν ῥάκη βρέχων ἐν οἰνελαίῳ τρίβε καὶ ἀναθέρμαινε.

462. Ἐν πυέλῳ· κελεύει δ' αὐτὸν ἐν πυέλῳ ἤγουν ἐν σκάφῃ θερμοῦ ὕδατος καθεῖναι καὶ καταντλᾶν τῷ θερμῷ, ἵνα τὸ συντεθραμμένον δέρμα διαλυθῇ. Ἐμβάπτεο σάρκα, τὴν σάρκα αὐτοῦ τοῦ πάσχοντος δηλονότι, ἄγε ἐκεῖνον αὐτόν.

463. Κυρίως δ' ἐπαιονᾶσθαί ἐστι τὸ ἐπ' ἠιόνος λούεσθαι, νῦν δὲ τὸ ἐπὶ τινθαλέοις ἤγουν θερμοῖς λοετροῖς θερμαίνεσθαι.

464. Αἷμα δ' ἀναλυόμενος ἀντὶ τοῦ τὸ θρομβῶσαν αἷμα τοῦ παθόντος διὰ την ἐκ τοῦ δηλητηρίου ψύξιν ἀναλύων τῇ θέρμῃ τῶν λοετρῶν. Ἐσκληκότα ῥινὸν τὸ κατεσκληκὸς δέρμα φησίν.

465. Τοῦ θαλασσίου λαγωοῦ, ὅς ἐστιν εἶδος ἰχθύος, καὶ Ἱππῶναξ μνημονεύει· τὴν μὲν ἀσθένειαν ἀφρῷ παραπλήσιος, τὴν δ' ἐπιφάνειαν μέλας, θανάσιμος δὲ βρωθείς, οὗ ἡ μὲν ὀσμὴ ταῖς τῶν ἰχθύων λεπίσι καὶ τῷ ἀποπλύματι αὐτῶν ἔοικεν, ἡ δὲ γεῦσις ἰχθύων σεσηπότων γεύσει ὁμοία ἐστίν. Κακοφθορέος δὲ κακῶς φθείροντος.

466. Ἤγουν τῆς πολυψήφου θαλάσσης· στεῖαι γὰρ αἱ ψῆφοι τῆς θαλάσσης.

468. Νεπόδων δ' ἰχθύων. Καὶ σαπρυνθέντων ἀντὶ τοῦ σαπρωθέντων.

469. Λοπὶς αὐξίδα· ἢ ὅταν ἡ λοπὶς τὴν ὅλην αὐξίδα μολύνῃ, ἐξ οὗ δηλοῖ τὸ φθείρει· αὐξὶς εἶδος ἰχθύος ὅμοιον θύννῳ. Αὐξίδα χραίνῃ, τουτέστι τὸ σῶμα ἀφανίζῃ, αὐξὶς δὲ τὸ σῶμα· μετὰ γὰρ τὸ ἀγρευθῆναι οἷον δή τινα ἰχθὺν, εἰ μένοι ἐπ' αὐτῷ τὸ λέπος αὐτοῦ, ἀφανίζει αὐτὸν καὶ ὄζειν ποιεῖ.

470. Ὁ λαγωὸς νεωστὶ γεννηθεὶς ὁμοιός ἐστι ταῖς θριξὶν ἤγουν κατὰ τὰς τρίχας τῆς τευθίδος.

471. Τεύθου, τουτέστι τοῦ ἄρρενος. Ὑπ' ὀστλίγγεσσιν, ἐπειδὴ γληνώδης ὑπάρχει, ὀστλιγγας δὲ λέγει τοὺς βοστρύχους, ὅ ἐστι τὰς κό-

μας τῶν τευθίδων καὶ σηπιῶν, ἐν αἷς ἄρτι γεννώμενοι οἱ θαλάσσιοι λαγωοὶ διατρίβουσιν.

473. Χολῇ· τῷ μέλανι. Ἀγρώστορος· ἐπειδὰν γὰρ ἴδῃ τὸν ἁλιέα, ἐκβάλλει τὸ μέλαν εἰς τὴν θάλασσαν, ἵνα ἀθεώρητος ᾖ· τοῖς δὲ πίνουσιν ἀκολουθεῖ σκότωσις χολώδης, ἰκτεριώδης· τοῦτο γάρ φησιν.

474. Τῶν ἤτοι ξοφόεις, τουτέστι τῶν φαγόντων τὸν λαγωόν.

475. Περιστολάδην δ' ἀντὶ τοῦ οὐκ ἀθρόαι, ἀλλ' οἷον κατὰ σταλαγμὸν ἐλαττοῦνται, ὁ δὲ λόγος· οἷον κατὰ σταλαγμὸν ἐκ τοῦ κατ' ὀλίγον τηκόμεναι καὶ καταστάζουσαι φθείρονται, ὁ δὲ τροφὴν οὐ προσίεται.

476. Ῥινός· ἀρσενικῶς εἶπεν ὁ ῥινὸς, τουτέστι τὸ δέρμα· καὶ τοῦ δέρματος κατὰ τὴν ἐπιφάνειαν γίνεται ἔπαρμα, μάλιστα δὲ περὶ τὰ σφυρὰ, περὶ δὲ τὰ τοῦ προσώπου μῆλα γίνεται οἰδήματα ἐν ἐρυθήματι.

478. Κυλοιδιόωντος, τοὺς ὀφθαλμοὺς διοιδοῦντος καὶ κοίλους ἔχοντος· κοῖλοι γάρ.

479. Ἐπακολουθεῖ γὰρ καὶ ὀλιγωτέρα ἔκκρισις τῶν οὔρων, ποτὲ μὲν πορφυρᾶ, ποτὲ δ' αἱματώδης διὰ τὸ ξύεσθαι τὰ ἐντός.

481. Πᾶς δ' ἔλλοψ, τουτέστιν ἰχθὺς φανεὶς τοῖς ὀφθαλμοῖς αὐτοῦ μισεῖται, τουτέστιν, ἐὰν ἴδῃ ἰχθύν, ἀποστρέφεται (τοῦτο γὰρ σημαίνει τὸ ἐμυδάξατο ἀντὶ τοῦ ἐμυσάξατο, ἀπεμυκτήρισε), παρητήσατο τοσοῦτον, ὡς καὶ ναυτιάσαι καὶ ἐμέσαι ὑπὸ τῆς ἀηδίας βιάζεσθαι.

483. Τῶν μὲν φοινήεσσαν. Γράφεται τῶν μὲν Φωκήεσσαν ἀντὶ τοῦ Φωκικήν· ἡ γὰρ τοῦ ἐλλεβόρου πόσις ἐν Φωκίδι δοκεῖ εὑρεθῆναι· κελεύει δ' ἐλλέβορον ἢ σκαμμωνίαν διδόναι πίνειν τῷ κάμνοντι, ἵνα τῆς κοιλίας κατενεχθείσης καὶ τὸ τοῦ φαρμάκου κακὸν συναπορραγῇ. Εἴρηκε δὲ καὶ φοινήεσσαν τὴν τοῦ μέλανος ἐλλεβόρου πόσιν.

484. Τὸ κάμωνος κατ' ἔνδειαν τοῦ σ, λέγει δὲ τὸν σκαμμωνίας χυλόν.

485. Ἀντὶ τοῦ τὰ κόπρια καὶ σκύβαλα ἐκβάλλῃ.

486. Βρωμήεντος τοῦ ὄνου παρὰ τὸ βρωμᾶσθαι.

488. Κεδρινέαν νῦν λέγει, εἰ καὶ πίσσαν αὐτὴν εἶπεν· πᾶν γὰρ τὸ ἀποστάζον πίσσαν καλεῖ. Πελάνου βάρος ἀντὶ τοῦ ὀβολοῦ ὁλκήν· οὐ γὰρ μόνον τὸ πέμμα, ἤγουν τὸ ἔψημα, πέλανος λέγεται, ἀλλὰ καὶ ἡ τοῦ ὀβολοῦ ὁλκή. Ἄλλως· τῆς πεπηγυίας κεδρίνης πίσσης, λέγει δὲ τὴν κεδρίαν.

490. Οἰνωπῆς· εἶδος ῥοιᾶς καὶ οἰνάδος. Καὶ προμένειον δ' εἶδος ῥοιᾶς, ὠνόμασε δ' αὐτὴν ἀπό τινος Προμένου Κρητός. Καὶ τὴν Αἰγινῆτιν δὲ καὶ ὅσαι τὰ σκληρὰ κάρφη, ἤγουν τοὺς ἁπλοῦς κόκκους κατ' ἀντίφρασιν, τῇ ἰσχνῇ καλύπτρᾳ καλύπτουσιν· ἢ ὅτι κάρφη τὰ λέπη, τοὺς φλοιούς. Ἄλλως· διαφράσσουσι καλύπτρῃ, τῇ ἰσχνῇ περιβολῇ τῶν κόκκων, ὅσαι φησὶ τὰ σκληρὰ καὶ φοίνια ἤγουν ἐρυθρὰ κάρφη, τουτέστι τοὺς ἐρυθροὺς κόκκους, τῇ ἀραχνώδει καὶ ὑμενώδει καλύπτρᾳ διαφράσσουσι, τουτέστι τῷ ἔσωθεν τοῦ δέρματος ὑμένι.

---

39 ἀπαλοὺς κόκκους?

493. *Τὴν ἐν οἴνῳ φησὶ τρωγομένην βορὰν, τουτέστι τὴν σταφυλὴν ἐν κυρτίδι θλίψας καὶ οἱονεὶ ἐκπιέσας δίδου αὐτῷ πιεῖν, οἱονεὶ γλεῦκος, ὃ λέγεται ἐν συνηθείᾳ μοῦστον· κυρτὶς κατασκεύασμά τι ἐκ λεπτῶν σχοινίων γεγονὸς, ᾧ καὶ οἱ μυρεψοὶ χρῶνται περὶ τὴν τῶν μύρων ἔκθλιψιν, ὑλιστήριον αὐτὸ καλοῦντες ἢ καὶ ὑλίστριον.*

494. *Τριπτὴρ δ' ἐστὶ κατασκεύασμα πρὸς πιεσμὸν εὔθετον. Ἄλλως· κυρτὶς κατασκεύασμά τι, ἐν ᾧ τὰς σταφυλὰς θλίβουσι, λέγει δὲ σταφυλὴν δίδου πιεσθεῖσαν.*

495. *Ἤν δέ τις αὐαλέῃ· ἐὰν δέ τίς φησι ξηρᾷ συνεχόμενος δίψῃ, καὶ προσπεσὼν ἐπί τινα ποταμὸν ἢ λίμνην πίνῃ ταυρηδὸν, τῇ δὲ βίᾳ τοῦ ἑλκυσμοῦ προσπέσῃ βδέλλα, καὶ τὰ ἑξῆς· ἰστέον δ' ὅτι ἀπὸ τῆς βδέλλας γίνεται ο οἶστρος.*

497. *Θρῖα δὲ κυρίως μὲν τὰ τῆς συκῆς φύλλα, νῦν δὲ τῶν μνίων φησὶ, τουτέστι τῶν βρύων.*

498. *Τοῦ μέν τε· λείπει τὸ πίνοντος· τούτου φησὶ ῥοιζηδὰ πίνοντος ἡ φιλαίματος βδέλλα προσπελάζουσα ἐπὶ τὰ χείλη αὐτοῦ τῆς βρώμης ἕνεκα τῇ ῥύμῃ τοῦ ποτοῦ, ἤτοι τῇ φορᾷ καὶ τῇ ὁρμῇ προὔτυψε παρὰ τῇ λαπάρᾳ αὐτοῦ ἱμείρουσα καὶ τοῦ φόνου. Ἄλλως· ῥύμῃ ἅλις· βούλεται εἰπεῖν, ὅτι φερομένη τῇ τοῦ ὕδατος ὁρμῇ, ὅπου αὐτὴν τὰ πρῶτα ὁ ῥοῦς προσπελάσῃ καταποθεῖσαν, ἀθρόως προσφύεται ἀμέλγουσα τὸ αἷμα.*

501. *Ἢ ὅθ' ὑπὸ ζοφέης νυκτός· ἢ ὅθ' ὑπὸ τῆς ζοφώδους νυκτὸς κεκαλυμμένος τὰς αὐγὰς, ἤγουν τοὺς ὀφθαλμοὺς, τὰ χείλη αὐτοῦ πρὸς τὰ χείλη τῆς ὑδρίας πιέσας καὶ κατακλίνας ἑαυτὸν ἀφραδέως τὸ ποτὸν ἴσχει.*

505. *Τὰς μέν· μετέβη ἀπὸ τοῦ ἑνικοῦ εἰς τὸ πληθυντικόν· ταύτας δὲ τὰς βδέλλας φησὶν ὅπου ἂν ὁ ῥοῦς ὦσῃ καὶ τὰ ἑξῆς.*

506. *Ἀμελγόμεναι δ' ἀντὶ τοῦ πιεζόμεναι ἤτοι πιέζουσαι.*

507. *Πύλῃσιν· τουτέστι τοῦ πνεύμονος ταῖς πύλαις ἢ τῇ ἀρχῇ τοῦ λαιμοῦ, ἤτοι τῷ φάρυγγι, ἢ τοῦ ἤπατος, ἢ τοῦ στομάχου.*

509. *Πέριξ δ' ἐπενήνοθε γαστρὸς ἀντὶ τοῦ ὁτὲ τῷ στόματι τῆς κοιλίας ἐπίκειται λαμβάνουσα τὴν προσφάτως ἐπενεχθεῖσαν τροφὴν, τὸ δ' ἐπενήνοθεν ἀντὶ τοῦ ἐπίκειται, πάλιν δ' ἀνέδραμεν ἀπὸ τοῦ πληθυντικοῦ ἐπὶ τὸ ἑνικόν.*

510. *Νέην δ' ἐπενείματο δαῖτα, ἤτοι ἣν ἄρτι ἔφαγε, διεμερίσθη καὶ ἐπεβοσκήθη.*

511. *Τῷ σὺ, ἤτοι τῷ καταπίνοντι τὴν βδέλλαν νείμειας ὅ ἐστι δοίης συνημμένην τῷ ὄξει ψυχρὰν πόσιν.*

512. *Χιονόεσσαν γὰρ τουτέστιν ὑπὸ χιόνος παγεῖσαν.*

513. *Καὶ τὸ νέον βορέῃσι παγέντος ἀντὶ τοῦ νεωστὶ βορείαις πνοαῖς παγέντος τοῦ κρυστάλλου.*

514. *Γυρώσαιο ἀντὶ τοῦ σκάψειας, ὀρύξειας, καθαλμέα δὲ βώλακα τὸν ὑφάλμυρον βῶλον τῆς γῆς, λέγει δὲ τὸ ἅλας, ἢ τὸν ὀρυκτὸν ἅλα· ἐν ἁλμυροῖς γὰρ τόποις οὐ γίνεται ἡ βδέλλα· διόπερ ποιεῖ τὸ ἁλμυρὸν ὕδωρ πρὸς ἀντιπάθειαν αὐτῆς, ἅλμην δὲ κελεύει πιεῖν Καππαδοκικοῦ ἁλός.*

515. *Ναιομένην δ' ἤτοι πατουμένην, ὀδευομένην, ἠροτριωμένην. Τὸ θαλερὴν δὲ γράφεται καὶ θολερὴν, διότι ὠφελιμός ἐστιν.*

516. *Ἢ αὐτὴν ἄλα βάπτε· ἢ αὐτήν φησι τὴν θάλασσαν, τουτέστι τὸ θαλάσσιον ὕδωρ, διδόναι πιεῖν, ποτὲ μὲν ἡλίῳ θερμαίνοντα, ποτὲ δὲ πυρί· βάπτε γὰρ ἀντὶ τοῦ ἄντλει, γέμιζε.*

517. *Καὶ ἠελίοις ὀπωρινοῖς, τουτέστι ταῖς ἡμέραις. Τότ' ἠνεκὲς ἀντὶ τοῦ ἐπιπολὺ τῷ πυρὶ θάλψας.*

518. *Ἅλα πηκτόν· τὸν ὀρυκτὸν, τὸν ἐκμέταλλον.*

519. *Καὶ ἐμπίσαις ἀντὶ τοῦ ἐμμίξαις τὴν ἄχνην· λέγει γὰρ τὸν ἀφρὸν, ὅντινα ὁ ἁλοπηγὸς ἀνὴρ συνάγει. Καὶ τὸ νειόθ' ὑφισταμένην ἀντὶ τοῦ κάτωθεν ἐκ βάθους συνισταμένην τοῦ κράματος τῶν ἁλῶν, ἐπὰν οὗτοι μίξιν λάβωσιν· ἰστέον ὅτι οἱ ἁλοπηγοὶ μιγνύουσι τοῖς θαλασσίοις ὕδασι γλυκέα ὕδατα, καὶ συνταράσσουσιν ἀμφότερα, ὥσπερ ἀποπλύναντες τὰ θαλάσσια ὕδατα τοῦ βρώμου τοῖς γλυκέσιν· ἐν γοῦν τῷ ταράσσεσθαι ἀφρός τις ἀναδίδοται, ὅντινα λέγουσιν ἄχνην ἁλός.*

521. *Μὴ μὲν δὴ ζύμωμα κακόν· καὶ γὰρ ζύμωμα εἶπε τὸν μύκητα, ἐπειδὴ ζυμῷ ἔοικε τῆς γῆς, τουτέστι πηλῷ· ὅμοιος γάρ ἐστι βώλῳ γῆς. Ἄλλως· ζύμωμα κακὸν τοὺς μύκητάς φησιν, ἐπειδὴ ἐκ τῆς γῆς γεννῶνται, οὗτοι δ' ὁτὲ μὲν ἐν τοῖς στέρνοις ἀνοιδοῦσιν, ὁτὲ δὲ καὶ περὶ τὸν λαιμὸν ἀνίσταται ἡ ἀπ' αὐτῶν κάκωσις· τότε δ' ἐνεργοῦσιν οἱ μύκητες, ὅταν φυῶσιν ἐν τῷ τόπῳ, ὅπου ἐφώλευσεν ἔχιδνα· ζύμωμα δ' αὐτοὺς ἐκάλεσεν, ἐπειδὴ ἀναζυμοῦνται ἔσωθεν μὴ πεττόμενοι, ἢ ὅτι ὥσπερ ζύμωμά εἰσι τῆς γῆς.*

522. *Ἄγχου· οἱ μέν φασι πόαν τινὰ εἶναι πλησίον τοῦ φωλεοῦ τῆς ἐχίδνης φυομένην, καὶ τὸν ἆσθμα αὐτῆς ἀνιμωμένην αὐτὴν, ἄλλοι δ' ἐκ τοῦ ἱδρῶτος τοῦ ὄφεως. Τὸ δὲ πολλάκι μὲν στέρνοισιν ἀνοιδέον, καθὸ βρωθέντες οἱ μύκητες ἀνοιδοῦσιν ἐν γαστρί. Καὶ τὸ εὖτ' ἐπὶ φωλεύοντα ἀντὶ τοῦ· ὅτε τραφῇ περὶ τὸν φωλεύοντα βαθὺν ὀλκὸν τῆς ἐχίδνης, ἤτοι περιφραστικῶς περὶ τὸν βαθὺν φωλεὸν τῆς ἐχίδνης.*

524. *Ἰὸν ἀποπνεῖον ἤγουν τὸν ἰὸν αὐτῆς ἀποπνέον τῶν στομίων τῆς ἐχίδνης· γράφεται δὲ καὶ ἀνικμάζον, τουτέστιν ἀνιμώμενον καὶ ἀναπῖνον τὸν ἰόν· καὶ τὸ ἀποφώλιον ὅ ἐστι χαλεπὸν ἆσθμα, τουτέστι τὴν χαλεπὴν πνοὴν τῆς ἐχίδνης τῶν στομίων.*

525. *Κεῖνο ποτὸν καὶ ζύμωμα· τοὺς μύκητας ἀδιαφόρως ζύμωμα καλοῦσιν.*

526. *Παμπήδην ἀντὶ τοῦ πανταχοῦ, οἱ πλεῖστοι· ἢ καθολικῶς μύκητας ὅλκους καλοῦσιν, οἱονεὶ ἀμανίτας. Οὔνομα κέκριται ἄλλο· πολυώνυμον γάρ ἐστι τὸ ζύμωμα· ὃ γὰρ καλεῖται ζύμωμα, μύκης, ἀμανίτης, βῶλος.*

527. *Σύ γ' ἢ ῥαφάνοιο· δίδυν φησὶ τὸν καυλὸν, ἤτοι τὴν κεφαλὴν τῆς κράμβης, τουτέστι τὸν ἀσφάραγον, ἐπειδὴ ῥαφάνας τὴν κράμβην φησίν· εὔχρηστον γὰρ πρὸς ἀντιπάθειαν.*

528. *Ἢ ῥυτῆς· ῥυτῆς δ' ἤτοι πηγάνου χλωρὸν, θάλλοντα καὶ χλοάζοντα ῥάβδον, ὅ ἐστι κλάδον, κόψας. Γράφεται καὶ ῥάδικα, οἷον κλῶνα.*

529. *Χαλκοῖο δ' ἤτοι παλαιᾶς χαλκάνθου· προστάσσει γὰρ χαλκοῦ ἄνθος πιεῖν.*

530. *Κληματόεσσαν· κληματίδος φησὶ θρύψον σποδὸν ἐν τῷ ὄξει, τουτέστι ἔμβαλε σποδὸν κλήματος ἐν ὄξει.*

531. *Πυρίτιδα δὲ βοτάνην πύρεθρον καλουμένην. Καὶ βάμματι, ὄξει.*

532. *Τό τε φύλλον, ἤγουν καὶ τὸ τοῦ καρδάμου φύλλον τὸ ἐν ταῖς πρασιαῖς αὐξανόμενον.*

533. *Καὶ Μῆδον δὲ τὸ Μηδικὸν καλούμενον, ἐστὶ δ' εἶδος φυτοῦ. Γράφεται καὶ μῆλον, ἐστὶ δὲ τὸ Μηδικὸν μῆλον, ὅ ἐστι τὸ νεράνζιον. Καὶ ἐμπρίοντα σίνηπι· τὸ τραχὺ ὂν τῇ γεύσει, ἢ παρόσον οἱ κλάδοι τοῦ σινήπεως τραχύτητα ἔχουσιν.*

534. *Οἰνηρὴν δ' ἀντὶ τοῦ οἴνου τρύγα καὶ ὀπτὴν ἐν ὄξει τρίψας δίδου πιεῖν.*

535. *Ἢ καὶ στρουθοῖο πάτον· ἀφόδευμα ὀπτὸν ὄρνιθος κατοικάδος, παραλέλοιπε δὲ τὸ μετὰ τίνος δεῖ πίνειν αὐτό, εἰ μὴ καθάπερ τὰ προειρημένα μετ' ὄξους.*

536. *Βαρεῖαν χεῖρα τὴν δεξιὰν λέγει· ταύτην φησὶ καθεὶς ἐπὶ τὸ ἐμέσαι, ὡς ἐπιτηδειοτέραν μὲν καὶ πρακτικωτέραν, ταύτην οὖν εἰς τὸν φάρυγγα καθιεὶς κατάσχοις τὴν ὅλην κάκωσιν.*

537. *Λιπορρίνοιο· καὶ γὰρ ἡ σαλαμάνδρα ζῷόν ἐστι τετράπουν, μικρὸν ὡς ἡ σαύρα, τῷ χερσαίῳ κροκοδείλῳ ἐοικὸς, φυχρὸν δὲ τῇ φύσει· διὸ καὶ τὸ πῦρ σβεννύει· οὔτε δέρμα ἔχει, οὔτε λεπίδα, ὅθεν καὶ λιπόρρινον αὐτὸν ἔφη· ῥινὸς γὰρ τὸ δέρμα· ἢ διότι λίπος ἀφίησιν ἀπὸ τοῦ δέρματος· γλίσχρος γάρ ἐστι καὶ λιπώδης, καὶ ἀπὸ τοῦ σώματος ὑγρασία ῥεῖν εἴωθεν, ἥτις τὸ πῦρ σβεννύει. Ἄλλως· ἡ σαλαμάνδρα εἶδος ἀσκαλαβώτου, Ἀνδρέας δέ φησιν· κἂν τῷ αἵματι αὐτῆς ἢ χεῖρα ἢ ἐσθῆτα χρίσῃς, ἀβλαβὴς ἔσται ἐκ πυρός. Δυσάλυκτον δ' ἀντὶ τοῦ δύσφευκτον.*

540. *Τὸ δὲ γλώσσης βάθος περιφραστικῶς ἀντὶ τοῦ ἡ γλῶσσα ἐπρήσθη· τῶν πινόντων γάρ φησιν ἡ γλῶσσα παχύνεται.*

543. *Τετράποδες· οὗτοι δὲ σφαλλόμενοι τετραποδιστὶ σύρονται, καθάπερ βρέφη· αἱ γαρ διάνοιαι αὐτῶν ἀμαυροῦνται καὶ ἀφανίζονται.*

544. *Σάρκα δ' ἐπιτροχόωσιν ἀντὶ τοῦ ἐπιτρέχει τῇ σαρκὶ πελιδνότης, ἐξ ἧς ὑγρασία, καὶ ἐπιπορθμευομένης τῆς κακίας ἤτοι σκεδαννυμένης ἢ σκεδαζούσης, καὶ τὰ ἑξῆς· βοήθειαν δὲ διδοὺς ῥητίνην πευκίνην, ἀναμίσγων ταύτην τῷ μέλιτι.*

545. *Σμώδιγγες· αὗται κατὰ σύντηξιν τῆς σαρκὸς στάζουσιν· ἐὰν δὲ στίζουσι γράφηται, καθάπερ οἱ στιζόμενοι· γράφεται γὰρ στίζουσαι, ἵν' ᾖ σημαῖνον τὸ ποικίλως πελιδνοῦσθαι, καθάπερ τοὺς στιζομένους. Καὶ δαιομένης δ' ἀντὶ τοῦ μεριζομένης πανταχοῦ τῷ σώματι.*

547. *Τενθρήνης· τενθρήνην εἶπε τὴν τενθρηδόνα, ζῷον δ' ἐστὶ*

---

40 στιζουσι?

μελιτοποιὸν, ὃ ὑπ᾽ ἐνίων λέγεται βέμβιξ, ἐστὶ δ᾽ ἐμφερὲς μελίσσῃ. Ἄλλως· τενθρήνη εἶδος μελίσσης, ἢ τόπος, ὅπου αἱ μέλισσαι διατρίβουσιν, ὡς εἶναι τὸ μελίσσειον· δύναται δὲ κατὰ συγκοπὴν τενθρηδόνος ἀντὶ τοῦ Θεσσαλικοῦ. Ὅμηρος (Il. β 756)·

Πρόθοος Τενθρηδόνος υἱός.

ἐπεὶ καὶ ἡ τενθρηδὼν, ὅ ἐστι μελίσσης εἶδος, ποιεῖ ἔργα· παρακελεύεται οὖν ἐκ τούτων τὸ μέλι λαμβάνειν.

548. Ἢ τῆς χαμαιπίτυος τοῦ βλαστοῦ μετὰ κώνων· εἰσὶν οὖν κῶνοι πίτυος οἱ στρόβιλοι· συνεψήσας οὖν φησι τούτους τοῖς φύλλοις τῆς χαμαιπίτυος δίδου πιεῖν. Ἢ χαμαιπίτυος· τῆς πίτυος τὰ φύλλα καὶ τοὺς κώνους ἀφεψήσαντα κελεύει τὸν χυλὸν διδόναι πιεῖν, ὁμωνύμως δὲ λέγεται ὁ καρπὸς καὶ ὁ στρόβιλος καὶ ὁ κῶνος. Ἢ τῆς χαμαιπίτυός φησι τῆς βλαστήμονος ἀναμεμιγμένως καθεψήσας τὰ φύλλα καὶ τοὺς κώνους ὅσους ἐθρέψατο ἡ πεύκη, τουτέστι ὅλα ὁμοῦ σύμμικτα ἑψήσας.

550. Ἄλλοτε δὲ σπέραδος· κνίδης σπέρμα καὶ ὀρόβου ἄλευρον κελεύει κόψαντα διδόναι πιεῖν, μετὰ τίνος δ᾽ οὐκ εἴρηκεν. Μυλοεργεῖ ἀντὶ τοῦ τῷ ὑπὸ μύλης κατεργασθέντι ἀλεύρῳ τοῦ ὀρόβου ξηραίνειν καὶ φρύγειν, καὶ τὰ ἑξῆς.

552. Ἐψαλέην ἤτοι ἡψημένην, ξηρανθεῖσαν ὑφ᾽ ἡλίου, καὶ αὐτὴν δὲ τὴν κνίδην ἕψων πότιζε μίσγων ἀλεύρῳ ὀρόβου ἢ καὶ κριθίνῳ ἀλεύρῳ μετ᾽ ἐλαίου.

555. Χαλβανόεσσα· καὶ ἡ ῥητίνη καὶ μέλι καὶ ῥίζα χαλβάνης καὶ ὠὰ χελώνης· διδόναι κελεύει ἑψηθέντα ἐπ᾽ ἀνθράκων.

556. Ἀλθαίνει καὶ γέντα· ἐν ἄλλῳ οὕτως· ἀλθαίνει τότ᾽ ἔνερθε πυρὸς ξαφλεγοῖο κεραίης· τὸ γὰρ ἔνερθε πυρὸς ξαφλεγοῖο κεραίης τὸ ἄγαν σφοδρῶς ἐν τῇ σποδιᾷ τοῦ κέρατος ἑψηθῆναι ταῦτα δηλοῖ· κεραία γαρ λέγεται τὸ ἄκρον καὶ ἔσχατον, ἡ χαλβάνη δ᾽ ὀπός ἐστιν ἐκ τῆς ῥίζης τῶν πανάκων πεπηγμένος.

557. Ἁλίοιο· θαλασσίου ἢ ἐνύδρου.

558. Ταχινῆσιν· γράφεται ἢτ᾽ ἄκρῃσι διαπλώει. Πτερύγεσσι δ᾽ ἀντὶ τοῦ ποσίν· τούτοις γὰρ ἐπινήχεται.

559. Οὐρείης ἢ χερσαίης χελώνης, ἢ ὀρεινῆς.

560. Αὐδήεσσαν δὲ διὰ τὴν λύραν, ἣν ἐποίησε τῷ Ἀπόλλωνι ἀντὶ τῶν βοῶν· μισθωτὸς γὰρ ὢν Ἀδμήτου ὁ Ἀπόλλων ἔβοσκεν αὐτοῦ τὰς βόας οὓς ἔκλεψεν ὁ Ἑρμῆς, καὶ φωραθεὶς ἔδωκεν αὐτῷ ἀντίλυτρον τὴν κιθάραν τὴν ἐκ τῆς χελώνης αὐτῷ κατεσκευασμένην, τὴν λεγομένην χέλυν, ὅθεν καὶ λύρα ἐκλήθη, οἱονεὶ λύτρα τις οὖσα ὑπὲρ τῶν βοῶν. Κυτισηνόμου δ᾽ ἐπειδὴ χελώνης εἴδη δύο, ὄρειον καὶ θαλάσσιον, ὧν αἱ ὀρειναὶ χελῶναι ὑπ᾽ ἀνέμων πληροῦνται, ὥσπερ αἱ ὄρτυγες· ἢ τῆς ἐν κυτίνῳ διατριβούσης, κύτινοι δ᾽ αἱ ἐξανθήσεις τῶν ῥοιῶν.

562. Χέλειον ἀντὶ τοῦ ὄστρακον ποικίλον. Καὶ ἀγκῶνας δύο ἤτοι κανόνας, ὅθεν δέδενται αἱ νευραί. Καὶ πέζαις τοῖς ὤμοις· τοῖς ὤμοις φησὶ τοῦ ὀστράκου αὐτῆς δύο παρέθηκε πήγματα, ἃ φησιν ἀγκῶνας.

563. Γερύνων δὲ, βατράχων. Καὶ λαιδρούς τοὺς ἀναιδεῖς διὰ τὸ

βοᾶν ἀεὶ τῇ φωνῇ τραχυτέρᾳ. Δαμάσαιο, ἐψήσειας. Τοκῆας τῶν γερύνων φησὶ, τουτέστι τῶν μικρῶν βατράχων, τοὺς ἀναιδεῖς. Πράσων ἢ ῥίζας ἠρύγγου, ὅ ἐστιν εἶδος βοτάνης, προσπάσσων ἀμμωνιακὸν καὶ χορτάσας, ὑγιάσεις τὸν κάμνοντα. Ἄλλως· χύτρῳ σκαμμώνιον· τούτοις εἰ κορέσοις τὸν ἄνθρωπον, καὶ θανάτου πλησίον ἐλθόντα σώσεις.

567. Φρύνοιο· περὶ φρύνου διαλέγεται, ὅς ἐστι βατράχου εἶδος, εἰς δὲ τὸ τέλειον λόγον προσληπτέον τὸ τὶς, ἔνιοι δ' ἀγνοοῦντες γράφουσι μετὰ τοῦ ς, δύσφημον ποιοῦντες τὸν λόγον· δύο οὖν γένη εἰσὶ βατράχων, χειμερινοί τε καὶ θερινοὶ, οἱ δὲ χειμερινοὶ ἄφωνοι καὶ θανάσιμοι. Ἢ οὕτως· φρύνου ἀντὶ τοῦ φωνητικοῦ· εἰσὶ γὰρ καὶ κωφοὶ καὶ ἄφωνοι, ὧν πρὸς ἀντιδιαστολὴν εἶπε φρύνου, τουτέστι φωνητικοῦ, οἱονεὶ φώνοιο, ἐστὶ δὲ καὶ ἐμφερὴς βατράχῳ, ἀλλὰ τοὺς ὀφθαλμοὺς μείζονας ἔχει, ταῖς ῥίζαις δὲ τῶν καλάμων ἢ τῶν θάμνων προσκάθηται ὁ φρῦνος. Θερειομένου δὲ τουτέστιν ἐν θέρει κατεσκευασμένου εἰς δηλητήριον· τὴν ἐπιφάνειαν γὰρ τοῦ δέρματος κεντοῦντες ποιοῦσι τραυματίαν, εἶτα τὸν ἰχῶρα τούτου λαβόντες μίσγουσι βρώσει ἢ πόσει, καὶ οὕτω διδόντες ἀναιροῦσιν· ὁμογενῆ δὲ τὰ ζῶά εἰσιν, ὁ δὲ κωφὸς βάτραχός ἐστιν, ἀλλ' οὐ φρῦνος.

568. Κωφοῖο λαχειδέος· τοῦ ἀφώνου καὶ δασέος.

569. Προσφύεται δὲ, οὐ προσκάθηται. Καὶ μορόεις ὁ κακοποιὸς, ἤγουν ὁ μόρον ἄγων. Καὶ λιχμώμενος ἔρσην ἀντὶ τοῦ ζητῶν ἢ λείχων τὴν δρόσον.

570. Καὶ θερόεις· ἐξ οὗ τῷ θέρει κατασκευάζεται δηλητήριον. Λαχειδέος δασέος, ὡς οἱ πρὶν ἐξηγησάμενοί φασιν, ἢ, ὡς οἴεται ὁ Τζέτζης, πρασίζοντος, λαχανοειδέος, καὶ ἐν συγκοπῇ λαχειδέος. Ἄλλως· λαχειδέος τοῦ δασέος· ἢ μικροῦ, ἐὰν ἐλαχειδέος. Τῶν ἤτοι θερόεις· ἀνέστρεψεν ἐπὶ τὸν φρῦνον· θερόεις γὰρ οὗτος, ἐπεὶ τῇ θερείᾳ τὸ ἀπ' αὐτοῦ φάρμακον συντίθεται, ὃ δυναμικώτερόν ἐστιν. Ἢ ἔτι καὶ κωφοῖο· μεταβέβηκε ἀπὸ τοῦ φρύνου ἐπὶ τὸν βάτραχον, ἐπεὶ ὁμογενῆ τὰ ζῶά εἰσιν· ὁ γὰρ κωφὸς βάτραχός ἐστιν, ἀλλ' οὐ φρῦνος, δύο δὲ γένη τῶν βατράχων, καὶ ὁ μὲν φθεγγόμενος ἀβλαβὴς, ὁ δὲ κωφὸς θανάσιμος. Ἄγει δὲ χλόον· δηλονότι τῷ φαρμακευομένῳ. Θάψου· ὅτι οἱ φαρμακευθέντες ὠχροὶ γίνονται, ὅτι δ' οὐ πᾶς βάτραχος ἐπιτήδειος, ἀλλ' ὁ ἐν θερμοτέροις διατρίβων τόποις, καὶ Ἀπολλόδωρός φησιν· τὴν αὐτὴν δὲ πόσιν ἀπ' οἴνου δοτέον· ἡ δὲ θάψος ἐστὶν εἶδος βοτάνης χλωρᾶς, ᾗ προσεικάζει τὴν χροιὰν τοῦ κάμνοντος, τὸ δ' ἄσθμα αὐτοῦ ἀθρόον συνάγεται, καὶ ἡ ἀναπνοὴ δυσώδης ἐστίν.

575. Καί τε σπλήν· καὶ ὁ τῆς λιμναίης καὶ πολυλάλου φρύνης σπλὴν, τῆς βοώσης κατ' ἀρχὴν τοῦ ἔαρος, τὸ κακὸν βάρος τοῦ ὀλεθρίου ἐκείνου φαρμάκου, τοῦτο γὰρ λείπει, ἤρκεσεν, ἐβοήθησε, τῷ κάμνοντι βρωθεὶς ὀπός.

577. Θυμάρμενον δ' εἶαρ τὸ θυμηρέστατον, τὸ τῇ ψυχῇ ἡρμοσμένον.

578. Αὐτὰρ ὅγ' ἄφθογγος· οὗτος δὲ κέρβερος καλεῖται, ἄφθογ-

---

41 ὀπτός?

γος ὤν· ἐνταῦθα γὰρ περὶ τοῦ ἀλάλου φρύνου διαλαμβάνει, ἐπειδὴ ἀνω περὶ τοῦ εὐλάλου εἶπεν.

580. Ἄλλοτε δ' ὑγραίνει· φησὶν οὕτω, τουτέστιν ἀγόνους κατασκευάζει τοὺς ἄνδρας καὶ τὰς γυναῖκας διὰ τὸ ἐπιπολὺ ἐξυγραίνεσθαι τὸ σπέρμα, ὥστ' ἐκ τοῦ αὐτομάτου ῥεῖν· ἀγόνους φησὶ τοὺς πίνοντας γίνεσθαι διὰ τὸ διαλύεσθαι τὸ σῶμα καὶ ῥοώδες γίνεσθαι. Χολόεν στόμα· χολαὶς ὑγραίνει τὸ στόμα, τουτέστι χολῆς ἀποπληροῖ.

581. Καρδιόωντα· ἤτοι τὴν καρδίαν ἀλγοῦντα.

582. Καὶ κατικμάζων ἀντὶ τοῦ καταστάζειν ποιῶν ἄνευ γονῆς.

583. Σκεδάων γυίοισιν ἀντὶ τοῦ σκορπίζων τὸν σπόρον τοῖς μέλεσιν ἀποτελεῖ ἀγόνους τοὺς φαρμακευθέντας, κἄν τ' ἀνὴρ ᾖ, κἄν τε γυνή.

584. Ἄφυσγετὸν δ' ἀντὶ τοῦ πολὺ, δαψιλὲς, ἀφύσιμον καὶ ἀρύσιμον.

586. Ἠὲ πίθου· δεῖ δ' αὐτόν φησιν ἐν πίθῳ διθύρῳ ἐντεθέντα ξηροπυρίαν λαμβάνειν, ὥσπερ οἱ ὑδρωπικοί. Ἐναλθῆ ἤγουν τὸν θεραπείας ἐπιδεόμενον· γράφεται καὶ ἀναλθῆ.

587. Θερμάσαιο ἀντὶ τοῦ θέρμανον. Νήχυτον ἱδρῶ, τουτέστιν ἵν' ἱδρώσῃ τὸν νήχυτον, οἱονεὶ τὸν πολύχυτον, τὸν πολὺν ἱδρῶτα.

588. Αὐξηρῶν, ἤτοι τῶν μεγάλων· γράφεται καὶ οὕτως· ἢ ξηρῶν· τῶν αὐχμηρῶν· Πραξαγόρας δέ φησι τὸ χλωρὸν τῶν καλάμων ἐσθιόμενον ὠφέλιμον ὑπάρχειν τοῖς ὑπὸ φρύνων πεφαρμακευμένοις.

589. Οἴνῳ ἐπεγκεράσαιο· τῷ οἴνῳ φησὶν, ἐν ᾧ τὰ ἀποβρέγματα τῶν ῥιζῶν τῶν καλάμων εἰσὶν, ἢ τοῦ κυπείρου.

590 seq. Τρίβοις πανάπαστον· ἀνάτριψαι αὐτὸν νῆστιν. Ὑποτέτροφε· οἰκεῖ ἐν ταῖς τῶ νκαλάμων ῥίζαις, ἢ ἐτράφη ὑπὸ λίμνην. Οἰκείη, ἤγουν ἑκάστη οἰκειουμένη αὐτοῖς. Ἕρπετα νήχει· τοὺς μικροὺς βατράχους λέγει, βατράχων δ' εἴδη δύο, τὸ μὲν κρακτικὸν, τὸ δ' ἄφωνον, ἀμφότερα δὲ θανάσιμα, ἡ δὲ φαρμακεία ἡ διὰ τῶν βατράχων γινομένη ἐστὶν αὕτη· λαμβάνουσι καὶ κατακεντοῦσιν ὅλον τὸ σῶμα, φυλασσόμενοι κατὰ βάθος ποιεῖσθαι τὰ κεντήματα, αὐτὴν δὲ μόνην παίοντες τὴν ἐπιφάνειαν τῆς σαρκὸς, καὶ εἰς ἀπίσσωτον σταμνίον βάλοντες μικρὸν ὕδωρ ἐπιῤῥαίνοντες, καὶ τὸ ἀπορρέον τούτου συμμίσγουσι βρωτῷ ἢ ποτῷ καὶ οὕτως ἀναιροῦσιν. Νήχει ἀντὶ τοῦ περιπατεῖ· δύο δ' εἴδη κυπείρου ἀρσενικόν τε καὶ θηλυκὸν, φιλόζωον δ' αὐτό φησι διὰ τὸ τὴν ῥίζαν ἔχειν στερεωτάτην. Τρίβοις· περιπάτοις ἀναγκάζει αὐτὸν χρῆσθαι μακροῖς, μήτε βρωτὸν, μήτε ποτὸν προσφέροντα, ξηραίνοντα δὲ τὸ σῶμα, ἵνα κατισχνωθῇ. Καὶ κατατρύσαιο δὲ γυῖα ἀντὶ τοῦ κατίσχνωσον αὐτοῦ τὰ μέλη.

594. Ἐχθομένη δέ σε· καὶ τῆς λιθαργύρου τὸ πόμα θανάσιμόν ἐστι, μάλιστα δ' οἱ περὶ Ἀπολλόδωρον αὐτό φασι δίδοσθαι μετὰ φακοῦ ἢ πισσίου ἢ πλακοῦντος· διὰ τοῦτο γὰρ λανθάνει ὁμοχροῦν· φησὶ δὲ τοῖς ἐνεγκαμένοις παρέπεσθαι βάρος κατὰ τῆς κοιλίας, μετὰ δὲ τὴν μέσην αὐτὴν πνεύματα βορβορίζοντα ἀνειλεῖσθαι, τὰ δὲ μέλη πίμπρασθαι, τὴν δὲ χροιὰν ἐοικέναι μολίβδῳ.

596. *Πνεύματ᾽ ἀνειλίσσοντα, ἤγουν ἐμπνευματοῖ παραπλησίως στρύφῳ ἢ εἰλίγγῳ.*

597. *Εἰλίγγοιο δυσαλθέος· τῆς κοιλιοστροφίας φησίν.*

599. *Οὐ μὴν τῶν οὔρων· γράφεται καὶ οὐ μὲν τῶν γ᾽ οὔρων ἀντὶ τοῦ τῷ κακωθέντι ὑπὸ τοῦ λιθαργύρου καὶ οὕτω καὶ ἡ τῶν οὔρων ῥύσις κατέχεται, τὰ δὲ μόρια πίμπραται.*

600. *Καὶ τὸ εἰδήνατο χροιὴν ἀντὶ τοῦ ὡμοιώθη.*

601. *Τῷ δ᾽ ὁτὲ μέν· δύο ὀβολοὺς σμύρνης.*

602. *Ἄλλοτε οὔρειον, ὅ ἐστιν ὀρεινὴν ὑπέρεικον, ἄλλοτε ὁρμίνιον, ἐστὶ δ᾽ εἶδος βοτάνης, ἄλλοτε ὑσσώπου κλάδους.*

604. *Κράδην τὴν ἀγρίαν συκῆν. Σπέραδός τε σελίνου· τοῦ ὀρεοσελίνου καλουμένου· φυτὸν γὰρ τοιοῦτόν ἐστι διουρητικόν.*

605. *Ἴσθμιον· ἡ ἱστορία εὔγνωστός ἐστι πᾶσι τοῦ ἀγῶνος τοῦ Μελικέρτου. Σισυφίδαι δ᾽ οἱ Κορίνθιοι· ἄγεται δὲ τῷ Μελικέρτῃ ὁ Ἰσθμιακὸς ἀγών, ἐν ᾧ ὁ στέφανος ἦν πρότερον τοῖς νικῶσιν ἀπὸ σελίνου, ὕστερον δ᾽ ἀπὸ πίτυος, γίνεσθαι δέ φασιν ἐπὶ Σίνιδι, τὸν Θησέα διαθεῖναι, οἱ δὲ Ποσειδῶνι τῷ πατρῴῳ θεῷ τελεῖσθαι, οἱ πλεῖστοι δέ φασι τελεῖσθαι τῷ Μελικέρτῃ.*

607. *Ῥυσίμῳ· καὶ γὰρ ῥύσιμόν ἐστιν εἶδος βοτάνης, ἰδίως δ᾽ αὐτὸ εἴρηκε χωρὶς τοῦ ε, ὅ τινες πήγανόν φασιν. Ἐνομηρέα δ᾽ ἀντὶ τοῦ ὁμοῦ μίξας.*

609. *Κύπρου· οἱ μὲν εἶδος φυτοῦ τὴν κύπρον φασίν, οἱ δὲ τὰ ἀπὸ τῆς Κύπρου νήσου βλαστήματα· καὶ τῆς κύπρου φησὶ τὰ νεοανθῆ βλαστεῖα, καὶ τοὺς τῆς σίδης ἤτοι τῆς ῥοιᾶς.*

610. *Κυτίνοιο τὸν ἀνθήμονα καρπὸν μετ᾽ οἴνου τρίψας παράσχε αὐτῷ πιεῖν· κύτινόν φασι τὸ ἄνθος τῆς ῥοιᾶς, ὅπερ αὐξηθὲν ῥοιὰ γίνεται.*

611. *Μὴ μὲν δὴ σμῖλον· ἡ σμῖλος φυτόν ἐστιν ἐλάτῃ ὅμοιον· διὸ καὶ ἐλατηίδα εἶπε· περὶ δὲ τῆς σμίλου φησὶν Ἀνδρέας περὶ Αἰτωλίαν πληθύνειν, καὶ τοὺς ἐγκοιμηθέντας αὐτῷ ἀποθνήσκειν, ὁ δὲ Θεόφραστος (H. P. III. 10, § 2) περὶ μὲν τῶν ἀνθρώπων οὐδὲν εἴρηκεν, αὐτὸ δὲ μόνον, ὅτι τὰ λόφουρα τῶν ζώων γευσάμενα ἀποθνήσκει, λόφουρα δ᾽ εἰσὶ βόες, ἡμίονοι. Καλλίμαχος δέ·*

ἕρπετὰ, τῶν αἰεὶ τεθράφαται λοφιαί.

612. *Οἰταλην· τὴν οἴτου αἰτίαν γινομένην, ἢ τὴν ἐν Οἴτῃ φυομένην, ὄρει τῆς Αἰτωλίας.*

613. *Χαλικροτέρη ἀντὶ τοῦ ἀκρατοτέρα πόσις οἴνου πολλὴ παραχρῆμα ἰάσαιτο.*

616. *Τὰ μὲν οὖν Νίκανδρος, ἤτοι καὶ ταῦτα μὲν ὁ Νίκανδρος τῇ ἰδίᾳ κατέθετο βίβλῳ τὰ ἐπίπονα καὶ φαρμακώδη ἑκάστῳ ἀνδρὶ τὰ ἐκ τοῦ μύκητος, λείπει δὲ τὸ γινόμενα ἢ τὰ μύκητος, ὅ ἐστι τὰ δηλητήρια. Ἄλλως· παρ᾽ ἀνέρι, ἢ παρὰ πρὸς τὸ κατέθετο, ἵν᾽ ἡ παρακατέθετο ἀνδρὶ ἑκάστῳ ἐν τῇ ἰδίᾳ βίβλῳ μοχθήεντα ἀντὶ τοῦ ἐπίπονα. Ἢ οὕτως· τῷ ἐπὶ φαρμάκῳ μυκητι κακοπαθοῦντι ἀνθρώπῳ· ταῦτα γὰρ βοηθήματα ἐν τῇ ἰδίᾳ βίβλῳ κατέθετο.*

618. *Πρὸς δέ τί σοι· πρὸς δὲ τούτοις φησὶ βοηθεῖ καὶ ἥστινος τοὺς κλῶνας ἐμίσησεν ἡ Δίκτυννα, λέγει δὲ περὶ τῆς μυρσίνης· φησὶ*

γάρ· αὐτὴν ἡ Δίκτυννα μισεῖ, καὶ μόνη αὕτη ἡ μυρσίνη τῆς Ἰμβρασίας Ἥρας οὐχ ὑπεδέξατο τὸ στέφος, τουτέστιν οὐκ ἐγένετο στέφος τῆς *Ἰμβρασίας Ἥρας, διότι πάλλους ἕνεκεν εἰς ἔριν διηγέρθησαν αἱ ἀθάνατοι θεαὶ, ὅτι τὴν Κύπριν ἐκόσμησεν αὕτη ἡ μυρσίνη.*

621. *Ἰδαίοισιν· ἐν τοῖς τῆς Ἴδης, ἐν τοῖς κατὰ Τροίαν ὄρεσιν. Ἄλλως· καὶ ἡ μυρσίνη φησὶ βοηθεῖ. ἧς τοὺς πλῶνας ἐμίσησεν ἡ Δίκτυννα, καὶ μόνη οὐκ ἐδέξατο τὸ τῆς Ἰμβρασίας Ἥρας στέφος, ὅτι τὴν Ἀφροδίτην ἐκόσμησεν, ὅτε περὶ πάλλους αἱ ἀθάνατοι ἤρισαν θεαί. Ἢ οὕτως· τὴν Ἴδην ἐκόσμησαν αἱ θεοὶ τοῖς ἄνθεσι τῶν βοτανῶν, καὶ ταῖς λόχμαις, ἔνθα διὰ πάλλους εἰς ἅμιλλαν κριθησόμεναι παρεγένοντο. Δίκτυννα δὲ καὶ ἡ Ἄρτεμις λέγεται. Καὶ τὸ τέλος, ἥστινος ἐμίσησεν.*

622. *Τῆς σὺγ' ἀπ' εὐύδρου νάπης· ταύτης οὖν φησι τῆς μυρσίνης τὸ εὐανθὲς ὄφελος· ὁ γὰρ καρπὸς αὐτῆς ὠφέλιμός ἐστι τοῖς πάσχουσιν, ὅ ἐστι τὸν καρπὸν τὸν πορφυροῦν, τὸν συναύξοντα ταῖς χειμεριναῖς νυξὶν, οἱονεὶ τῷ ἔαρι. ἢ τὸν συναύξοντα ταῖς χειμεριναῖς πνοαῖς ἢ ἡμέραις· μᾶλλον γὰρ τῳ χειμῶνι ἀνθεῖν τοῦτόν φησι τὸν καρπὸν, ἀπὸ τῆς εὐύδρου νάπης λαβὼν, καὶ θαλφθέντα ταῖς τοῦ ἡλίου ἀκτῖσι λειώσας, τουτέστι ξηρανθέντα λειώσας, καὶ τὸν χυλὸν δι' ὀθόνης ἢ πυρτίδος ἐκπιέσας δίδου κοτύλην τῷ μέτρῳ πεπληρωμένην ἐν κυάθῳ, ἢ καὶ κοτύλης πλεῖον. Εὐανθὲς· τὸ εὐανθὲς ὄφελος.*

624. *Καὶ ἠελίοιο βολῇς, ἤτοι ταῖς ἀκτῖσιν.*

625. *Καὶ σχοινίδι κύρτῃ· τῇ ἐκ σχοίνου πεποιημένῃ.*

627. *Ὀνήιον· ὠφέλιμον.*

628. *Καὶ ἄρκιον βοηθητικὸν καὶ ὠφελιμώτατον.*

629. *Ὑμνοπόλοιο· τοῦ ἐν τοῖς ὕμνοις καὶ ᾠδαῖς καὶ ποιήμασιν ἀναστρεφομένου, τουτέστι ποιητοῦ· ἐν τῷ μεμνῆσθαι τοίνυν ἡμῶν τὸν νόμον φυλάσσοις τοῦ ξενίου Διός· μνῆστιν γὰρ ἀντὶ τοῦ μνείαν.*

Digitized by Google

Digitized by Google

181695

by Google

Digitized by Google

THE UNIVERSITY LIBRARY
UNIVERSITY OF CALIFORNIA, SANTA CRUZ
SCIENCE LIBRARY

This book is due on the last DATE stamped below.

MAR 02

DUE

QL537.D73 H67
1992
FEB 2 1992
QL DAVIS CRUZ
UNIVERSITY OF CALIFORNIA
SANTA CRUZ

FEB 2 5 1992 RTD

Form 571

UNIVERSITY OF CALIFORNIA, SANTA CRUZ
3 2106 00863 2132

Digitized by Google